ρκη. Περὶ ἐκείνου ὁποῦ φθείρει μίαν παρθένον καὶ θέλει νὰ ἐμπῇ εἰς τὴν τζοῦτζαν, διότι οὐδὲν τὸ ἐποῖκεν, καὶ ποταπὸν δίκαιον νὰ γένηται τῆς τζοῦτζας ἀπ᾽ ἐκεῖνον τὸν σεσωσμένον, καὶ ἀπ᾽ ἐκεῖνον ὁποῦ οὐδὲν ἔνι σεσωσμένος ἀπαὶ τὴν τζοῦτζαν.

Ὁμοίως ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος φθείρει μίαν παρθένον, καὶ οὐδὲν ἠμποροῦν νὰ τὸν ἀτενιάσουν μὲ τοιούταις μαρτυρίαις, καθὼς ὁ νόμος καὶ ἡ ἀσίζα ἐθέσπισεν ἐπάνω εἰς τὴν ἄλλην κρίσιν, καὶ ἐκεῖνος μέσα εἰς τοῦτον, ὡς γιὸν ἔνι μέσα εἰς τὴν φυλακήν, λαλεῖ, ὅποιοι νὰ ποῦσιν ἔμπροστεν τοῦ βισκούντη καὶ τῆς αὐλῆς, τουτέστιν τοὺς κριτάδες, ὅτι θέλει νὰ ἐμπῇ εἰς τὸ δίκαιον λεγόμενον φράγκικα τζοῦτζα, ὅτι οὐδὲν ἐποῖκεν ταύτην τὴν ἁμαρτίαν τῆς παίδενας, τὸ δίκαιον ὁρίζει ὅτι ἐντέχεται νὰ ἐμπῇ εἰς τὸ δίκαιον, μὲ δίκαιον, ἐφειδὴ μόνος του ἐζήτησεν, καὶ μετὰ ταῦτα ἡ αὐλὴ οὐδὲν πρέπει νὰ τὸν ἀφήσῃ νὰ στραφῇ, ἂν μετανώσῃ· καὶ ἐὰν ἔνῃ κίτες ἀπαὶ τὸ δί-

καιον, εντέχεται νὰ ἔνῃ ἀποσταλμένος ἀπ' ἐκεῖνον τὸ παράπτωμαν μὲ δίκαιον, ὅτι ἐπάνω εἰς τὸν ὅρκον καὶ εἰς τὴν μαρτυρίαν τοῦ θεοῦ οὐδὲν πρέπει κανεὶς ἄνθρωπος νὰ πῇ τίποτες· καὶ ἐὰν ἔνῃ σωσμένος ἀπαὶ τὸ δίκαιον, ἐντέχεται νὰ κριθῇ, καθὼς ἄνωθεν ἐλαλήθην εἰς τὸ ἄλλον κρίσιμον, ὅτι οὕτως ἔνι δίκαιον καὶ κείμενον κατὰ τὴν ἀσίζαν.

φ.93. | ρκθ. Περὶ τῶν ἐκλημάτων, καὶ ἕνεκεν τίνος ἐντέχεται νὰ ἔχουν ἀφαμπαρλιέρην, καὶ διὰ τί νὰ μηδὲν ἔχῃ.

Ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος ἐγκλητεύει ἕτερον ἄνθρωπον, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος πρέπει νὰ ἔχῃ ἀφαμπαρλιέρην ὁποῦ νὰ πῇ τὸ δίκαιον τοὺς δύο ἀντάμα, καὶ διὰ τοῦτο ἐντέχεται νὰ ἔχῃ ἀφαμπαρλιέρην, ὅτι ἂν ἔνῃ ὅτι ὁ ἀφαμπαρλιέρης νὰ πῇ λόγον τὸν οὐδὲν ἐντέχεται νὰ πῇ ὁ ἀβανπαρλιέρης δι' ἐκεῖνον ὁποῦ συντυχάνει, καὶ ἡ βουλή του ἠμποροῦν καλὰ νὰ τὸν ἀμαντιάσουν πρὶν λαληθῇ ἡ κρίσις· ἀμὲ ἂν ἔνῃ ὅτι, ἐκεῖνος ὁποῦ ἔνι τὸ ἀγκάλεμαν εἰπῇ λόγον ἐναντίον του ὁποῦ τοῦ γυρίζει εἰς ζημίαν, οὐδὲν ἠμπορεῖ νὰ τὸν στρέψῃ ὀπίσω, ἐφειδὴ ἐκεῖνος τὸ εἶπεν, ἂν ἴσως ὅτι ὁ ἀγκαλῶν θελήσῃ, διότι ἐκεῖνος μ' ἐκείνους ὡς ἐκείνους τὸ ἀκοῦσαν· καὶ διὰ τοῦτον ἐσταντπλιάσαν εἰς τὴν αὐλὴν τοὺς μπουργέζηδες, ὅτι κανεὶς ἄνθρωπος μηδὲν ἀγκαλέσῃ χωρὶς ἀφαμπαρλέρη, οὐδὲ εἰς τὴν αὐλὴν τοὺς καβα[λλά]ρους χωρὶς βουλὴν τοὺς καβαλλάρους, ὡς ὅτι μὲ τὴν βουλήν τους ἐντέχεται μετὰ ταῦτα νὰ δείξῃ τὸ δίκαιόν του, ὅτι οὕτως ἔνι δίκαιον καὶ κείμενον κατὰ τὴν ἀσίζαν.

ρλ. Ἀπαὶ τοῦ νῦν δίκαιον ἔνι νὰ σᾶς εἰποῦμεν τὸν νόμον καὶ τὸ δίκαιον τοὺς μάρτυρας τοὺς χρήζουνται οἱ ἄνθρωποι εἰς ὅλα τους τὰ ἀγκαλέματα· καὶ ἀπῶδε λατίνικα νόμιμα· ποῖος πρέπει νὰ σύρῃ μαρτυρίαν εἰς τὴν αὐλὴν διὰ ἄλλον ἄνθρωπον, καὶ ποταπὸς ἄνθρωπος οὐδὲν ἠμπορεῖ νὰ σύρῃ μαρτυρίαν εἰς τὴν αὐλὴν μὲ δίκαιον.

Τοιοῦτοι ἄνθρωποι καὶ τοιοῦτοι μάρτυρες ἠμποροῦσιν καλὰ νὰ φέρουν μαρτυρίαν μὲ τοιοῦτον, νὰ ἔνῃ πιστοὶ καὶ δίκαιοι ἄνθρωποι τοῦ νόμου· ἀμὲ νὰ ἠξεύρῃς καλὰ ὅτι ὁ ὑποτακτικὸς ὁποῦ ἔνι εἰς ὑποταγὴν τοῦ πατρός του, καὶ ἐὰν ἦτον εἰς καταπλοκήν, τουτέστιν ἔχει κακὴν κατηγορίαν, ὅτι οὐκ ἠμποροῦν νὰ σύρουν μαρτυ[ρ]ίαν εἰς τὴν αὐλὴν διὰ κανέναν ἄνθρωπον, φ. 94. καὶ ἂν τὸ ἠθέλησεν νὰ τὸ ἐποῖκαν οὐδὲν πρέπει ν' ἀγροικηθῇ, οὐδὲ νὰ πιστευτῇ· ἀμὲ δύο πιστοὶ ἄνθρωποι ἠμποροῦσιν καλὰ νὰ σύρουν μαρτυρίαν εἰς πᾶσαν αὐλὴν ἀποὺ πᾶσα πρᾶγμαν μὲ δίκαιον· καὶ εἷς ἄνθρωπος ζωντανὸς ἠμπορεῖ καλὰ νὰ σύρῃ μαρτυρίαν εἰς τὴν αὐλὴν διὰ λόγου του καὶ διὰ τὸν τεθνεῶταν, μὲ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν τῆς χώρας, μὲ τοιοῦτον, ὅτι ἐκεῖνος ὁ ἄνθρωπος ὁποῦ θέλει νὰ σύρῃ μαρτυρίαν διὰ λόγου του καὶ διὰ τὸν τεθνεῶταν ἐντέχεται νὰ ἔνῃ ἄνθρωπος καλῆς ἀκουῆς, καὶ ἐντέχεται νὰ ἔνῃ μαρτυρούμενος πιστὸς ἄνθρωπος, καὶ ἐὰν ἔνῃ τοιοῦτος ἠμπορεῖ νὰ φέρῃ καὶ νὰ ποίσῃ μαρτυρίαν διὰ λόγου του καὶ τὸν τεθνεῶταν, καὶ ἐντέχεται νὰ ἀξιάζῃ μὲ δίκαιον· εἰς μαρτυρίαις, οὐδὲν ἐντέχουνται νὰ τοὺς σφίξουν νὰ σύρουν μαρτυρίαν εἰς τὴν αὐλὴν κανενοῦ πράγματος, ἂν οὐδὲν θέλουν. Ἠγνωρίζετε καλὰ ὅτι ὁ πατήρ μου καὶ οἱ ἀδελφοί μου καὶ ὁ γαμπρός μου ἠμποροῦν καλὰ νὰ μοῦ σύρουν μαρτυρίαν εἰς τὴν αὐλήν, ἂν ἔνῃ χρῆσις, μὲ τοιοῦτον, νὰ ὀμόσουν εἰς τὰ ἅγια ὅτι οὐδὲν ἔχουν μέρος εἰς τὸ ζήτημαν ὁποῦ θέλουν νὰ φέρουν τὴν μαρτυρίαν, διότι κάλλιον ἔνι δίκαιον νὰ μοῦ βοηθήσουν νὰ ἀνασπάσω τὸ δίκαιόν μου, παρὰ τοὺς ξένους.

ρλα. Περὶ ἐκείνου ὁποῦ θέλει νὰ σύρῃ μαρτυρίαν διὰ πρᾶγμαν, καὶ ποταπὸν δίκαιον ἀπ' ἐκεῖνον ὁποῦ τοῦ πολεμᾷ.

Ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος θελήσει νὰ σύρῃ μαρτυρίαν ἑνοῦ ἀνθρώπου, καὶ φανερόνεται εἰς ἐκεῖνον τὸ ἔκλημαν τὴν θέλει νὰ φέρῃ τὴν μαρτυρίαν, ἢ φέρνει τὴν μαρτυρίαν ἄπιστα

διὰ τίποτες πρᾶγμαν τὸ μέλλει νὰ ἔχῃ, ἢ ἂν τὸ πολεμᾷ δι' ἀγάπην ἐκείνου ὁποῦ θέλει νὰ σηκώσῃ τὸ ἔκλημαν, τὸ δίκαιον ὁρίζει ὅτι οἱ κριτάδες οὐδὲν ἐντέχουνται νὰ τοὺς δεχτοῦν διὰ φ. 95. μάρτυρας τοιούτους ἀνθρώπους, μὲ δίκαιον· καὶ ἐὰν ἐγίνε|το μὲ δίκαιον ὅτι ἐφέραν τὴν μαρτυρίαν, μὴ γινώσκοντα ταύτην τὴν πονηρίαν οἱ κριτάδες, ὅτι εἶχαν μερτικὸν εἰς τὸ ζήτημαν, ἢ ἐφέραν τὴν μαρτυρίαν ἀπόστα διὰ κανένα λογάριν τὸ ἐπήρασιν, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος ὁποῦ ἔβαλεν τοὺς μάρτυρας ἄδικα κατὰ τοῦ ἄλλου ἐντέχεται νὰ χάσῃ ἐκεῖνον τὸ ζήτημαν, καὶ ὁ ἄλλος νὰ τὸ ἔχῃ κερδαιμένον μὲ δίκαιον, καὶ οἱ μάρτυρες ὁποῦ ἦτον ἄπιστοι ἐντέχεται νὰ τρυπήσουν τὰς παλάμας τους μὲ σίδερον βραστὸν εἰς ἀγνωριμίδαν τοῦ ἀπίστου ὅρκου τὸν ὠμόσασιν εἰς τὴν μαρτυρίαν· ὅτι εἴ τις ὀμνεῖ ἄδικον ὅρκον, ἀρνᾶται τὸν θεόν, καὶ διὰ τοῦτον ἐντέχεται νὰ τρυπήσουν τὰς παλάμας τους, ὡς ἄνωθεν ἐλαλήθην· καὶ ἐντέχεται νὰ χάσουν ἀπολογίαν τῆς αὐλῆς, εἰς ὁπλὴν πλεῖον νὰ μὴ τοὺς πιστεύσουσιν εἰς μαρτυρίαν καμμίαν κανενοῦ πράγματος τὸ νὰ ποῦσιν· καὶ ἐκεῖνος ὁποῦ τοὺς ἔβαλεν τοὺς μάρτυρας τοὺς ἀπίστους ἔπεσεν νὰ δώσῃ τοιοῦτον τέλος τοῦ αὐθέντη, ὥσπερ ἄνθρωπον ἀτενιασμένον εἰς ἀπιστίαν, ὅτι ἀπίστησεν τὸν ἑαυτόν του καὶ ἐπιηρνήσατο τὸν θεὸν μὲ δύο ἀνθρώπους νὰ τοὺς φέρουν ψευδομαρτυρίαν διὰ λόγου του, ὅτι ἐντέχεται, οὐδὲ δίκαιον, οὐδὲ ὁ νόμος ὁρίζει ὅτι κανεὶς ἄνθρωπος ὁποῦ ἔχει μερτικὸν εἰς τὸ ἔκλημαν, ἢ ἐκεῖνος ἔνι ἀποὺ ἐκεῖνον τὸ πρᾶγμαν τὸ ζητοῦν μερτικάρης, ἢ πέρνει πρᾶγμαν διὰ νὰ φέρῃ ψευδομάρτυρας, ὁποῦ οὐδὲν ἐντέχουνται νὰ ἔνη πιστευμένοι εἰς τὴν αὐλὴν μὲ τὸ δίκαιον.

ρλβ. Ὁμοίως περὶ τοῦ αὐτοῦ.

Νὰ ἠγνωρίζετε καλά, ὅτι ἐὰν γένηται ὅτι εἷς Φράγκος νὰ θελήσῃ νὰ φέρῃ μαρτυρίαν κατὰ πρόσωπα ἑνοῦ Συριάνου, οὐδὲν ἠμπορεῖ νὰ τὸ ποίσῃ, οὐδὲ ἡ αὐλὴ ἐντέχεται νὰ τὸ πε-

ριλάβη, ἤγουν νὰ τὸ δεχτῇ μὲ δίκαιον, οὐδὲ κανεὶς Συριάνος νὰ θελήσῃ νὰ φέρῃ μαρτυρίαν κατὰ πρόσωπα ἑνοῦ Φράγκου οὐδὲν ἐντέχεται νὰ τοῦ πι|στεύσουν εἰς κανέναν δίκαιον· φ. 96.
καὶ ἐὰν ἐγίνετον ὅτι κανεὶς Συριάνος, ἢ Ἀκουβίτης, ἢ Ρωμαῖος, ἢ Νεστούρης, ἢ ἑτέρου ἄλλου νόμου, νὰ ἐποῖκαν καμμίαν ἀθεώρησιν ἔμπροστεν τοῦ βισκούντη, ἢ ἔμπροστεν τοὺς κριτάδες, ἀπ' αὐτῶν ἠμποροῦν καλὰ νὰ φέρουν μάρτυρας· οἱ Φράγκοι ἔνι κριτάδες κατὰ πρόσωπα Συριάνου καὶ κατὰ πρόσωπα Σαρακηνοῦ καὶ κατὰ πρόσωπα ὅλους τοὺς ἄλλους νόμους· καὶ καλὰ ἤξευρε ὅτι καμμίαν γενεὰν οὐδὲν ἠμπορεῖ νὰ σύρῃ μαρτυρίαν εἰς τὴν αὐλὴν κατὰ πρόσωπα κανενοῦ ἀνθρώπου, ἢ κανενοῦ πράγματος.

ρλγ. Περὶ τοῦ μάρτυρος ὁποῦ θέλει νὰ φέρῃ μαρτυρίαν κατὰ γυναικός, καὶ ἂν ἔχῃ πόλεμον, ἢ οὐχὶ εἰς τὴν αὐτὴν μαρτυρίαν.

Ἐὰν εἷς ἄνθρωπος θέλει νὰ φέρῃ μαρτυρίαν εἰς τὴν αὐλὴν κατὰ πρόσωπα μίας γυναικός, τὸ δίκαιον ὁρίζει ὅτι καλὰ ἠμπορεῖ νὰ γενῇ, καὶ ἐντέχεται νὰ ἀξιάζῃ· ἀμὲ ἔχει πόλεμον, ἐὰν τὸ ζήτημαν ἐμπαίνῃ ἐπάνω ἑνοῦ μάρκου ἀσῆμιν, ὅτι ἐὰν ἐκεῖνος, ἢ ἐκείνη ὁ κατάδικος ὁποῦ βάνουν τοὺς μάρτυρας κατ' αὐτοῦ, ἠμπορεῖ καλὰ νὰ σηκώσῃ τὸν ἕναν εἰς πόλεμον, καὶ ἐκεῖνος ὁποῦ νὰ νικήσῃ, θέλει κερδαίσειν τὸ ζήτημαν μὲ δίκαιον· ἀμὲ νὰ ἠγνωρίζετε καλά, ὅτι δύο κριτάδες ἠμποροῦν καλὰ νὰ σύρουν μαρτυρίαν ἀποὺ πᾶσα πράγματα τὰ ἐγίνουντα, ἢ τὰ ἐλαλήθησαν ἔμπροσθέν τους εἰς τὴν αὐλήν, δίχως κανέναν πόλεμον ὁποῦ ἠμπορεῖ νὰ γενῇ.

ρλδ. Περὶ τοῦ βισκούντη καὶ τοὺς μεσίταις του, ὁποῦ ἔνι οἱ σεργένταις ὁποῦ τηροῦν τὰς μέσας, ὅταν θέλουν νὰ σύρουν μαρτυρίαν εἰς τὴν αὐλήν, ἐὰν ἀξιάζῃ, ἢ οὐχί.

Ἐὰν γένηται ὅτι ὁ βισκούντης ἢ οἱ σεργένταις του θέλουν νὰ φέρουν μάρτυραν εἰς τὴν αὐλὴν κατά τινος, οὐδὲν ἠμπο-

ροῦν νὰ τὸ ποίσουν, οὐδὲ νὰ ἔνῃ πιστευμένον, οὔτε ἐκεῖνος, οὔτε οἱ σεργένταις του, ὡς γιὸν ἔνι τοιοῦτον πράδειγμαν· ὁ φ.97. Πέτρος | ἦλθεν ὀμπρὸς καὶ ἐγκάλεσεν τὸν Μαρτῆν εἰς τὸν βισκούντην, καὶ μετὰ ταῦτα ἐστράφην ὁ Μαρτῆς καὶ ἐγκάλεσεν εἰς τὸν βισκούντην τὸν Πέτρον, καὶ ὁ Πέτρος εἶπεν, ὅτι ἐκεῖνος ἦτον ὁ πρῶτος ὁ ἀγκαλῶν, καὶ ὁ βισκούντης εἶπεν, ὅτι ὁ Μαρτῆς ἦν ὁ πρῶτος ὁ ἀγκαλῶν, καὶ οἱ μεσίταις του ὁμοίως συμμαρτυροῦν τοῦ βισκούντη ὅτι ὁ Μαρτῆς ἦτον, τὸ δίκαιον ὁρίζει ὅτι, οὐδὲ ἐκεῖνος, οὐδὲ οἱ μεσίταις του οὐδὲν ἐντέχεται νὰ ἔνε πιστεμένοι ἀπαὶ τὴν αὐτὴν μαρτυρίαν, οὐδὲ ἀποὺ κανέναν ἄλλον πρᾶγμαν, μὲ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν τοῦ ρηγάτου τῶν Ἱεροσολύμων· ἀμὲ ἐὰν ὁ εἷς ἀπ' αὐτοὺς τοὺς δύο ἠμπορεῖ νὰ δείξῃ μὲ β' μάρτυρας ἄλλους, παρὰ τοῦ βισκούντη, οὖ τοὺς μεσίταις του, ὅτι ἦτον πρῶτος ὁ ἐγκαλῶν, δίκαιον ἔνι ὅτι αὐτὸς νὰ ἔχῃ προτήτερα δίκαιον ἀπ' ἐκεῖνον ἢ ἀπ' ἐκείνους τοὺς ἀγκάλεσεν.

ρλε. Περὶ τῶν μαρτύρων τῶν γραφῶν, καὶ ποία μαρτυρίαν ἀξιάζει, καὶ ποίων γραφῶν οὐδὲν ἀξιάζει.

Ἐὰν γένηται ὅτι κανεὶς ἄνθρωπος ἢ καμμία γυναῖκα φέρει εἰς τὴν αὐλὴν καμμίαν γραφὴν εἰς μαρτυρίαν, οἱ κριτάδες, οὐδὲ ἡ αὐλὴ οὐδὲν ἐντέχεται νὰ τὴν λάβουσιν, οὐδὲ νὰ τὸ γροικήσουν, οὐδὲ νὰ τοῦ πιστεύσουν μὲ δίκαιον, χωρὶς ἂν ἔνῃ σιγγίλιον βουλλωμένον μετὰ τὴν σφραγίδαν τοῦ ἀφέντη τῆς χώρας, οὗ κανενοῦ ἑτέρου τόπου, ὅτι τοῦτον ἐντέχεται νὰ κρατήσουν καὶ νὰ πιστεύσουν· ἀμὲ ἂν ἔνῃ ὅτι εἷς ἄνθρωπος, ἢ μία γυναῖκα ἔρχετον ἀπαὶ τὴν Τάκην καὶ νὰ ἔφερεν γραφὴν εἰς τὸν ἐμπαλῆν τοῦ Ἰάφα εἰς τὴν Ἱερουσαλήμ, καὶ εἶπεν, λάβετε ἄρχοντες, τοῦτον τὸ γράφος στέλλει το ὁ βισκούντης τῆς Τάκης καὶ οἱ κριτάδες, καὶ μηνοῦ σας νὰ πιστεύσετε τὸ δηλοῖ· καὶ ἡ γραφὴ νὰ ἔλεγεν, ὅτι ὁ βισκούντης καὶ οἱ κριτάδες τῆς Τάκης σύρνουν μαρτυρίαν τοῦ Μαρτῆ, ἢ τοῦ

Τζουάνη, ὅτι ὁ Τζηρὰτ ὡμολόγησεν ἔμπροστέν τους ὅτι ἐχρῶστέν του πέρπυρα ρ', ἢ περίσσου, ἢ παρκάτω, αὐτὴ ἡ μαρ- φ. 98. τυρία οὐδὲν χρήζει τίποτες, οὐδὲ ἐντέχεται νὰ τοῦ πιστεύσουν ἐκείνης τῆς γραφῆς· διὰ τοῦτο δίκαιον τὸ αὐτὸν γράφος, οὐδὲ κανέναν ἄλλον οὐδὲν ἐντέχεται νὰ τοῦ πιστεύσουν εἰς τὴν αὐλήν, ἂν οὐδὲν ἔνῃ προβελίτζι, ὥσπερ ἄνωθεν ἐλαλήθην.

ρλϛ'. Περὶ τῶν γραφῶν, καὶ ποία γραφὴ χρήζει καὶ ποία γραφὴ οὐδὲν χρήζει.

Ἐὰν γένηται μία πούλησι εἰς τὴν αὐλὴν ἐνώπιον τοῦ βισκούντη καὶ τοὺς κριτάδες, γῆς, ἢ ἀμπελῶνας, ἢ οἰκιῶν, εἰ εἰρήνῃ γέγονεν, ἢ φόνον περὶ τούτου γέγονεν, γραφῆς ἔμπροστεν τοῦ βισκούντη καὶ τοὺς κριτάδες, καὶ καμμία δυσκεψία γίνεται μετὰ ταῦτα περὶ τούτου, κἂν λαλοῦσιν ὅτι τὸ γράφος τούτων οὐδὲν ἐγίνετον εἰς τὴν αὐλήν, τὸ δίκαιον ὁρίζει νὰ ἔνῃ στερεωμένον πᾶν πρᾶγμαν ὁποῦ δηλοῖ τὸ γράφος ὁποῦ ἔνι εἰς μαρτυρίαν τοῦ βισκούντη καὶ τῶν κριτάδων, πάντα τὰ δηλοῖ τὸ γράφος, κἄν τε γράμματα τοῦ γραμματικοῦ τῆς αὐλῆς, καὶ ἑτέρου τῆς χώρας, καὶ τοιούτη γραφὴ ἀξιάζει κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν.

ρλζ'. Περὶ τῶν γραφῶν τῶν ἀνθρώπων τῶν κουμουνίων.

Ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος τοῦ κουμουνίου δανείζει ἑτέρου ἀνθρώπου μάρκα ὁποῦ χρήζει νὰ τὸ ἔχῃ εἰς πίστωσιν, ἢ ἕτερον τίποτες πρᾶγμαν, καὶ διὰ ταύτην τὴν ἐμπίστιωσιν πολεμοῦν νὰ τοὺς ποίσουν γράφος νοταρικὸν γεγραμμένον διὰ χειρὸς νοταρίου καὶ μαρτύρων ἑτέρων ἀνδρῶν, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνον τὸ γράφος ἐντέχεται νὰ ἀξιάζῃ μεσόν τους, καὶ πρέπει νὰ ἔνῃ τόσον στερεόν, ὥσπερ νὰ ἦτον σιγγίλιον βουλλωμένον, καὶ νὰ ἔνῃ κρατημένος ὁ κούσουλος ἐκείνου τοῦ κουμουνίου νὰ σφίξῃ νὰ ποίσουν πλέρωμαν ἵνα στρέψῃ τοῦ ἄλλου πάντα ὅσα τὸ γράφος δηλοῖ, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν· ἀμὲ εἰς τὴν ρηγικὴν αὐλὴν οὐδὲ ἐντέχεται,

οὐδὲ πρέπει νὰ δώσουν | οἱ ἄνθρωποι κρίσιν ἐπάνω κανενοῦ
φ. 99. κριτοῦ ὁποῦ νᾶτον εἰς κανέναν γράφος, ἂν οὐδὲν ἔνῃ καθὼς τὸ ἐλαλήσαμεν ἄνωθεν.

ρλη. Περὶ τοῦς γραφῆς ὁποῦ οὐκ ἔχει μάρτυραν, ἐὰν χρήζῃ ἢ οὐχί.

Ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος ἀγκαλεῖ ἕτερον ἄνθρωπον εἰς τὸν κούσουλόν του, ἢ μίαν γυναῖκαν ἀποὺ κανέναν πρᾶγμαν τὸ λαλεῖ τὸ τοῦ χρεωστεῖ ἐκεῖνος, καὶ λέγει ὅτι ἔχει γράφος εἰς τὸν κούσουλόν του, καὶ εἰς τοῦτον τὸ γράφος οὐκ ἔχεν γραμμένην καμμίαν μαρτυρίαν οὐδὲ ἀποθαμένου, οὐδὲ ζωντανοῦ, καὶ ἐκεῖνος ἀρνᾶται ἐκεῖνον τὸ τοῦ ζητᾷ, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος ὁποῦ ἔδειξεν τὸ γράφος ἐχάσεν πάντα ὅσα ἐζήταν, διότι καμμία γραφὴ οὐδὲν χρήζει τίποτες ἄνευ μαρτυρίας· οὐδὲ μετὰ ταῦτα ἔνι κρατημένος ὁ βισκούντης, οὐδὲ οἱ κριτάδες νὰ ζητήσουν ἐκείνου τοῦ κούσουλου νὰ ποίσῃ πλέρωμαν τὸ δηλοῖ τὸ γράφος ἀπ' ἐκεῖνον ἢ ἀπ' ἐκείνην ὁποῦ ζητᾷ νὰ ἔχῃ δίκαιον, διότι ἀποὺ γραφὴν ἄπιστην οὐδὲν ἐντέχεται κανεὶς νὰ ποίσῃ κανέναν ζήτημαν.

ρλθ. Περὶ ποιᾶς ὑποθέσεως ἔχουν τὰ κουμούνια αὐλὴν μέσον τους καὶ περὶ ποῖον πρᾶγμαν τὸν οὐδὲν ἐντέχουνται νὰ ποίσουν δίκαιον ἔξω παροὺ ἡ αὐλὴ ἡ ρηγική.

Νὰ ἠγνωρίζετε καλὰ ὅτι κανέναν κουμοῦνιν, ὥσπερ Γενουβίσοι, Βενετίκοι καὶ Πιζάνοι οὐδὲν ἐντέχουνται νὰ ἔχουν καμμίαν αὐλὴν ἄνευ μεσόν τους, καὶ τοὺς λᾶς τους, μόνο ὁποῦ ἔχουν ἀνθηλογὴν μεσόν τους ἀποὺ πούλησιν, ἢ ἀποὺ ἀγοράν, ἢ ἀποὺ ἕτερα κάτινα πράγματα καὶ στοιχήματα τὰ ἔχουν ἀναμεταξύ, καλὰ ἠμποροῦν νὰ τοὺς ἐπιτιμήσουν ὁ κούσουλός τους ἀπὸ πρᾶγμαν, ἂν τὸ πολομοῦν ἄτακτον, καὶ νὰ τοὺς βάλλῃ εἰς τὸ σακέλλιόν τους· ἀμὲ καλὰ νὰ γινώσκετε ὅτι κανέναν κουμοῦνιν οὐδὲν ἔχει αὐλὴν τοῦ αἵματος, τουτέστιν ἀποὺ κόρπον φανερόν, οὐδὲ κανενοῦ φόνου, οὐδὲ κλεψίας, οὐδὲ

παραβουλίας, | οὐδὲ αἱρετικιᾶς, ὡς ἔνι πατελῆνος, ἢ αἱρετικός, φ.100. οὐδὲ πούλησης, ἢ ἀγορᾶς γῆς, οὐδὲ ἀμπελῶν, οὐδὲ κήπων, οὐδὲ χωριῶν, ὅτι ὅλα ταῦτα τὰ πράγματα ἐντέχεται νὰ κριθοῦν καὶ νὰ τελειωθοῦν καὶ νὰ πουληθοῦν εἰς τὴν ρηγικὴν αὐλήν, καὶ εἰς ἄλλον τόπον οὐδὲν ἠμποροῦν νὰ γένουνται μὲ δίκαιον, οὐδὲ κατὰ τὴν ἀσίζαν τῶν Ἱεροσολύμων· καὶ ἐὰν καμμίαν τῶν κουμουνίων αὐλὴν νὰ ἔκρινεν, ἢ νὰ ποίσουν νὰ κρίνουν μεσόν τους κανέναν ἀπ' αὐτὰ τὰ πράγματα ἀποῦ ἔνι διαφεντεμένα, οὐδὲ ἐντέχεται νὰ ἀξιάζουν τίποτες, μὲ δίκαιον καὶ μὲ τὴν ἀσίζαν, καὶ ἐντέχεται ὅλον νὰ τὸ ξηλώσῃ ἡ αὐλὴ ἡ ρηγική.

ρμ. Περὶ ἐκείνου ὁποῦ θέλει νὰ φέρῃ μαρτυρίαν εἰς τὴν αὐλήν, καὶ ἔνι λαβωμένος, ὁποῦ ἐδιάβασεν ἔτος ξ' χρονῶν, καὶ ἂν ἠμπορεῖ νὰ ἀλλαχτῇ καὶ νὰ βάλλῃ ἕτερον ἀντ' αὐτοῦ.

Ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος ἔρχεται εἰς τὴν αὐλήν, καὶ οὗτος ὁ ἄνθρωπος ἔνι λαβωμένος, ἢ ἐδιάβην τοὺς ξ' χρόνους, καὶ θέλει νὰ φέρῃ μαρτυρίαν διὰ κανέναν ἄνθρωπον, ἢ διὰ καμμίαν γυναῖκαν, τὸ δίκαιον ὁρίζει ὅτι καλὰ ἠμπορεῖ νὰ φέρουν μαρτυρίαν τοιοῦτοι ἄνθρωποι εἰς τὴν αὐλὴν ἀποὺ πᾶσα πρᾶγμαν· καὶ ἐὰν γένηται ὅτι κανεὶς νὰ σηκώσῃ πόλεμον, τὸ δίκαιον ὁρίζει ὅτι ἠμπορεῖ καλὰ νὰ ἀλλακτῇ μὲ ἄλλον ἄνθρωπον ὁποῦ νὰ πολεμήσῃ εἰς τὸν τόπον του, ὅτι τοῦτον ἔνι δίκαιον καὶ κείμενον κατὰ τὴν ἀσίζαν.

ρμα. Περὶ τοῦ λαβωμένου ὁποῦ τὸν κράζουν νὰ πολεμήσῃ.

Ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος ἐκράξαν τον διὰ φόνον, καὶ ἐκεῖνος ἔνι ἄνθρωπος λαβωμένος, τὸ δίκαιον ὁρίζει ὅτι, ἐὰν ἠμπορῇ ν' [ἀλ]λαχθῇ διὰ ἕτερον ἄνθρωπον γερὸν ὁποῦ νὰ πολεμήσῃ ἀντ' αὐτοῦ, καὶ ἐὰν ὁ καμπίτης του νικηθῇ, ἐκεῖνος ὁποῦ τὸν ἔβαλεν τὸν καμπίτην ἐντέχεται νὰ τὸν φουρκίσουν, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν, καὶ πάντα ὅσα ἔχει νὰ ἔνῃ τοῦ ἀφεντὸς τῆς χώρας, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν.

φ.101. | ρμβ. Περὶ τοῦ πράγματος τοῦ χρεωστεῖ ὁ ζωντανὸς τοῦ τεθνεῶτος, καὶ ἀρνᾶται τοῦ ζητοῦν.

Ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος ἀπέθανεν, ἢ μία γυναῖκα, καὶ κἄτις ἄνθρωπος χρεωστεῖ του κανέναν πρᾶγμαν, καὶ οἱ συγγενεῖς τοῦ τεθνεῶτος ζητοῦν ἐκεῖνον τὸ πρᾶγμαν ἐκείνου ὁποῦ τοῦτο ἐχρῶστεν, καὶ ἐκεῖνος ἀρνᾶταί το, καὶ ἐκεῖνος ὁποῦ ζητᾷ τὸ πρᾶγμαν ἔχει β′ μάρτυρας ἀποῦ μαρτυροῦσιν, τὸ δίκαιον ὁρίζει ὅτι ἐντέχεται νὰ τὸ κερδαίσῃ τὸ ζήτημαν· ἀμὲ ἐτεσαῦτον ἔχει ὅτι, ἐκεῖνος ὁποῦ βάλλει κατὰ πρόσωπά του τοὺς μάρτυρας, ἐὰν θέλῃ, ἠμπορεῖ νὰ σηκώσῃ ἕναν ἀπαὶ τοὺς μάρτυρας εἰς πόλεμον, ἐὰν τὸ ζήτημαν ἐμπαίνῃ ἀπάνω α′ μάρκον ἀσῆμιν καὶ ἄνω, καὶ εἴ τις νικήσει τὸν πόλεμον, ἐντέχεται νὰ κερδαίσῃ τὸ ζήτημαν μὲ δίκαιον· ἀμὲ ἂν ἔνῃ ὅτι ἐκεῖνος ὁποῦ ζητᾷ τὸ πρᾶγμαν διὰ τὸν τεθνηκόταν οὐδὲν νὰ ἔχῃ β′ μάρτυρας νὰ μαρτυρήσουν ὡς μάρτυρες, τὸ δίκαιον ὁρίζει ὅτι, ἐκεῖνος ἢ ἐκείνη ὁποῦ ζητοῦσιν τὸ χρέος ἐντέχεται νὰ ὁμόσουν εἰς τὰ ἅγια ὅτι τίποτες οὐδὲν ἐχρῶστεν τοῦ τεθνηκοῦ, καὶ εἰς τοῦτον ἐντέχεται νὰ ἔνῃ κίτες μὲ δίκαιον.

ρμγ. Περὶ ἐκείνου ὁποῦ οὐδὲν ἐντέχεται νὰ τὸν λάβουν μάρτυραν.

Ἐὰν γένηται ὅτι ἀποὺ κανέναν ριζικόν, ὅτι ὁ κἄτις ἄνθρωπος ὁποῦ ἐχάσεν ἀπόκρισιν εἰς τὴν αὐλὴν διὰ καμμίαν κακοπραξίαν τὴν ἐποῖκεν, ὡς γιὸν ἔνι θεσπισμένον ἄνωθεν διὰ ποίαν αἰτίαν πρέπει νὰ τὴν χάσῃ, τὸ δίκαιον ὁρίζει ὅτι οὐδὲν ἐντέχεται νὰ τὸν περιλάβουν εἰς τὴν αὐλὴν διὰ μάρτυραν, ἢ γυναῖκαν ὁποῦ ἐχάσεν ἀπόκρισιν εἰς τὴν αὐλήν, διὰ τὸ οὐδὲν ἠμπορεῖ νὰ σηκώσῃ ἄνθρωπον εἰς πόλεμον, καὶ διὰ τοῦτο οὐδὲν ἠμπορεῖ ποτὲ νὰ σύρῃ μαρτυρίαν.

ρμδ. Περὶ τοῦ ἀνθρώπου τοῦ κανόνος ὃν λέγεται ἐντερελετζηοῦν, καὶ περὶ τῆς μαρτυρίας αὐτοῦ, καὶ τοῦ ἱερέως καὶ τοῦ ἀναγνώστη, πότε ἀξιάζει, καὶ πότε οὐδὲν ἀξιάζει.

| Ἐὰν γένηται ὅτι ὀκάτις ἄνθρωπος τοῦ κανόνος λεγόμενος φ.102.
ἐντερελετζηοῦν, ἔλθῃ εἰς τὴν αὐλὴν καὶ θέλει νὰ φέρῃ μαρτυρίαν, οὐδὲν ἠμπορεῖ νὰ τὸ ποίσῃ, οὐδὲ ἡ αὐλὴ ἐντέχεται νὰ τοῦ γροικήσῃ, οὐδὲ νὰ τοὺς περιλάβῃ κατὰ πρόσωπα παντὸς ἀνθρώπου κοσμικοῦ οὐδὲ ἱερέαν, οὐδὲ ἀναγνώστην ὁμοίως· ἀμὲ ἂν ἦτον ἐτεσαῦτον ὅταν κανεὶς ἄνθρωπος κοσμικὸς νὰ ἦτον ἀσθενὴς καὶ νὰ ἐξαγορεύτην, καὶ τὴν διαθήκην του ἐνώπιον τοῦ φρικτοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐνώπιον τοῦ ἱερέως καὶ τοῦ διακόνου καὶ ἐνώπιον ἑτέρους ἀνθρώπους, εἰς αὐτὸν ἠμπορεῖ καλὰ νὰ σύρῃ μαρτυρίαν ὁ ἱερεὺς καὶ ὁ ἀναγνώστης, καὶ μὲ β′ ἀνθρώπους ἰδιώτας, ἤγουν κοσμικοὺς ἐν τῷ ἅμα· καὶ τοῦτο νὰ γίνεται εἰς πρᾶγμαν κινητόν, οὐχὶ δὲ ἀπ᾽ ἄλλον, ὅτι ἐὰν τὸ πρᾶγμαν νὰ ἦτον ἀποὺ κληρονομίαις, ὡς γιὸν ἀπὸ οἰκίας, ἢ χωραφιῶν, ἢ ἀμπελῶνας, ἢ κάμπους, ἢ χωρίων, ὁ ἱερεὺς καὶ ὁ ἀναγνώστης οὐδὲν ἠμποροῦν εἰς αὐτὰ τὰ ἀκίνητα νὰ φέρουν μαρτυρίαν εἰς αὐτῶν τῶν πραγμάτων, καὶ ἔχει πόλεμον· καὶ νὰ ἠγνωρίζῃς καλὰ ὅτι ἀποὺ ὅλα ἐκεῖνα τὰ πράγματα τὰ ἀγκαλοῦν οἱ ἄνθρωποι εἰς τὴν αὐλὴν τὴν κοσμικήν, χρήζεται μάρτυρας κοσμικούς· καὶ ἐφειδὴ ἡ ζήτησις ἀναβιβάζεται ἀποὺ α′ μάρκον ἀσῆμιν καὶ ἐπάνω, ἠμπορεῖ νὰ ἔχῃ πατάλιαν, ἐὰν θέλῃ ὁ κατάδικος ὁποῦ λαλοῦν διὰ λόγου του οἱ μάρτυρες, ὅτι ἠμπορεῖ νὰ σηκώσῃ τὸν ἕναν διὰ νὰ πολεμήσῃ, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν τῆς Ἱερουσαλήμ.

ρμε. Περὶ τῶν ἐγκλημάτων τὰ ἀγκλοῦν οἱ ἄνθρωποι ἐν τῷ ἅμα, ὡς ἀπὸ τοὺς τοίχους ἀποὺ σπίτια, ἀποὺ ἐνοίκια ἐντέχεται.

Ὧδε νὰ ποῦμεν λατίνικον νόμιμον.

Περὶ δύο μπουργέζηων ὁποῦ ἔχουν μέσον τους καμμίαν ἀδυσκεψίαν κανενοῦ ἐσπιτιοῦ, διὰ τὸ ποῖον οἱ κριτάδες καὶ ὁ βισκούντης ἔνι κρατημένοι νὰ πᾶ νὰ δοῦν ἐκείνην τὴν ἀθηλογὴν μὲ τὸ δίκαιον καὶ τὴν ἀσίζαν.

φ.103. | ρμϛ. Ἐὰν γένηται ὅτι β' ἄνθρωποι ἔχουν ἀθηλογὴν μέσον τους, ὥς περ ἀποὺ τοῖχον κοινόν, οὗ φρουντιέραν τῶν ἐσπιτιῶν, οὗ πεζουλίου ὁποῦ ἔνι ἔμπροστεν τοῦ ἐσπιτίου, καὶ ἀγκάλεμαν γίνεται περὶ αὐτοῦ εἰς τὴν αὐλήν, τὸ δίκαιον ὁρίζει ὅτι ὁ βισκούντης ἐντέχεται νὰ στείλῃ τοὺς κριτάδες νὰ πᾶσι νὰ 'δοῦσιν ἐκεῖνον ὁποῦ ἔνι ἐκείνη ἡ ἀθηλογή, καὶ ἔνι κρατημένοι νὰ πᾶν ἐκεῖ μὲ ἐκείνους ἀπαῦτα τῶν οἰκιῶν, καὶ κατὰ ἐκεῖνον τὸ νὰ 'δοῦν οἱ κριτάδες καὶ νὰ γνωρίσουν ἀπαὶ τὸ φαινόμενον τοῦ πράγματος, πρέπει νὰ δώσουν τὸ κρίσιμον καὶ νὰ τοὺς συμπάψουν, καὶ ἐκεῖνον τὸ οἱ κριτάδες νὰ κρίνουν πρέπει νὰ ἔνῃ στερεωμένον ὅλας τὰς ἡμέρας, ἐντέχεται νὰ τὸ κρατήσῃ στερεὸν ὁ βισκούντης εἰς τὰ δύο μέρη· ἀμὲ ἐὰν ἔνῃ ὅτι οἱ κριτάδες οὐδὲν ἠμποροῦν νὰ συμπάψουν διὰ τὸ οὐδὲν θεωροῦν εἰς τὸν τοῖχον πρᾶγμαν ἀποῦ νὰ δυνηθοῦν νὰ δώσουν δίκαιον, ὁρίζει ὅτι ἀπαὶ τώρα καὶ ἐμπρὸς οἱ δύο μπουργέζηδες ἐντέχεται νὰ ἔλθουν ἔμπροστεν τοῦ βισκούντη καὶ ἔμπροστεν τοὺς κριτάδες καὶ νὰ ποῦν ὁ καθὲς τὸ δίκαιόν του κατὰ τὸ ἔχει, καὶ ἐκείνου ὁποῦ νὰ γνωρίσουν οἱ κριτάδες ὅτι ἔχει μεγαλήτερον δίκαιον ἐντέχεται νὰ τοῦ τὸ δώσουν εἰς τὸ αὐτὸν ὁποῦ τὸ ἐγκάλεμαν ἔνι, ὅτι τοῦτον ἔνι δίκαιον κατὰ τὴν ἀγνωριμίδαν τῆς αὐλῆς.

ρμζ. Περὶ ἐκείνου ὁποῦ βάλλει τὸ βολίκιν του εἰς ἄλλου τοῖχον ποταπὸν δίκαιον νὰ ἔνῃ.

Ἠγνωρίζετε καλὰ ὅτι ἐὰν εἷς ἄνθρωπος ἔχει ἕναν σπίτιν ἐδικόν του μὲ οὔλους του τοὺς τοίχους, καὶ γίνεται ὅτι κᾄτις ἀπαὶ τοὺς γειτόνους του βάλλει τὸ βολίκιν του μέσα εἰς τὸν τοῖχόν του σκεπαστὰ εἰς ὁπλὴν ὅτι ὁ κύριος τοῦ τοίχου οὐδὲν ἠμπορεῖ νὰ τὸ 'δῇ, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος ὁποῦ ἔβαλεν τὸ βολίκιν του σκεπαστὰ μέσα εἰς ἄλλον τοῖχον οὐδὲν ἀνα-
φ.104. σπάζει τίποτες εἰς τὴν αὐλήν |, ἂν ἔνῃ ὅτι τὸ βολίκιν του μένει μέσα εἰς τὸν τοῖχόν του περίττου παρὰ χρόνον καὶ ἡμέραν διὰ

τὸ ἦτον νὰ μὴ σκεπαστῇ, ὅτι κανεὶς οὐδὲν ἐδυνήθην νὰ 'δῇ· καὶ ἔνι κρατημένος παρευτὺς νὰ εὐγάλῃ τὸ βολίκιν ἀπαὶ τὸν τοῖχον ἐκεινοῦ ὁποῦ ἀγκάλεν μοναῦτα ὡς γιὸν τοῦ πῇ ἡ αὐλὴ νὰ τὸν ὁρίσῃ· ἂν ἴσως ὅτι ἀγκαλέσει, ἔνι κρατημένος νὰ ποίσῃ μὲ τὸν αὐθέντην τοῦ τοίχου καλὴν ὄρεξιν διὰ νὰ τὸ ἀφήσῃ τὸ βολίκιν του εἰς τὸν τοῖχόν του, καὶ ἂν οὐδὲν ἠμπορήσῃ νὰ τὸ ποίσῃ, ἔνι κρατημένος νὰ τὸ εὐγάλῃ μὲ τοιοῦτον, ὅτι ὁ κύριος τοῦ βολικίου ἐντέχεται νὰ ὁμόσῃ εἰς τὰ ἅγια, ὅτι μέσα εἰς ἐκεῖνον τὸν χρόνον καὶ τὴν ἡμέραν ἀφοῦ τὸ ἔμαθεν, ἢ ὅτι εἶπαν τοῦτο, ἢ ὅτι εὔγαλέν το, καὶ ὥρισέν τον νὰ τὸ εὐγάλῃ, ἢ ὅτι ἐγκάλεσεν εἰς τὴν αὐλήν, καὶ τότες ἔνι κρατημένος νὰ τὸ εὐγάλῃ, ἢ νὰ ποίσῃ τὴν ὄρεξιν του, μὲ δίκαιον καὶ μὲ τὴν ἀσίζαν.

ρμη. Περὶ ρυμαδίου τὸ λέγεται γαστήνα, ὁποῦ οὐκ εἶχεν ἀποὺ παλαιῶν καιρῶν οἰκίας καὶ τώρα ὁ κἄτις θέλει νὰ ποίσῃ, ποταπὸν δίκαιον ἐντέχεται νὰ ἔχῃ.

Ἐὰν ἔχω ἕναν ρυμάδιν ἐδικόν μου ὁποῦ εἶχεν οἰκίας, καὶ ἐγὼ ὁποῦ ἔνι τὸ ρυμάδιν ἐδικόν μου θέλω νὰ ἀνακαινώσω τὰς οἰκίας μου, καὶ ὁκάτις μὲ κωλεῖ νὰ βάλλω τὰ βολίκιά μου εἰς τὸν τοῖχον ὁποῦ ἔνι μεσόν μου καὶ τοῦ πλησίον μου, οὐ διαφεντεύγουν με ν' ἀκουμπήσω τὰς καμάρας μου εἰς τὸν τοῖχον, ὁποίας ἀκομὴ δείχνει φανερὰ εἰς τὸν τοῖχον τὰς καμάρας μου καὶ τὰ παραθύριά μου ὁποῦ ἦσαν πρὸς τὸν τοῖχον πρὸς τὸ μέρος μου, καὶ διὰ τὸ ἔνι οὕτως φανερόν, θέλω νὰ ἀνασπάσω τὸ ἥμισον τοῦ τοίχου, καὶ ὁ ἕτερος ἔρχεται ὀμπρὸς καὶ λέγει, « μὴ τ' ὁρίσοι ὁ θεός, ὅτι ἔχει τίποτες εἰς ἐκεῖνον τὸν τοῖχον, ὅτι ἔχει πλεῖον παρὰ κ' χρόνους, ὅτι εἰς τὴν γαστήνα σου οὐδὲν εἶχεν κανέναν σπίτιν, οὐδὲ ἀντὰ ἀγόρασα τοῦτον τὸ σπίτιν μου,
εἰς τὴν γαστίναν σου | οὐδὲ κανέναν σπίτιν ἦτον ἀναστημένον, φ.105.
καὶ διὰ τοῦτο οὐδὲ νὰ σὲ ἀφήσω νὰ φορτώσῃς, ὅτι ὅλοι οἱ τοῖχοι ἔνι ἐδικοί μου, ἐὰν μὴ τὸ ἀγνωρίσῃ ἡ αὐλή »· καὶ οὐ-

τως ἔρχουνται εἰς τὴν αὐλὴν καὶ λαλοῦν το· τὸ δίκαιον ὁρίζει ὅτι οἱ κριτάδες ἐντέχεται νὰ πᾶν ἐκεῖ καὶ νὰ δοῦν, ἐὰν τὸ φανερὸν τοῦ τείχους ἔνι οὕτως ὡς λαλεῖ ἐκεῖνος, ἐντέχεται νὰ φορτώσῃ καὶ νὰ ἐγείρῃ τὰ σπίτιά του μὲ τὸ δίκαιον καὶ μὲ τὴν ἀσίζαν· ὅτι ἂν ἔνῃ ὅτι εἰς τὸ ρυμάδιν του οὐδὲν εἶχεν ἀπού μέγαν καιρὸν οἰκίας, οὐδὲν χάνει παντὸς διὰ τοῦτο τὸ δίκαιον τοῦτο ἐκεῖνος οὗ οἱ κληρονόμοι του ὁποῦ τὸ εἶχαν, οὗ ἔχουν, οὗ ἐκείνους ἄπαὶ τοὺς ποίους τὰ ἐγόρασεν· καὶ ἐὰν οἱ κριτάδες εὑρίσκουν ὅτι οὐδὲν εἶχεν τίποτες ἀγνωριμίαν τὸ πῶς ἦσαν κουμπισμέναις ἢ καμάραις του, οὐδὲ σπίτια, οὐδὲν ἐντέχεται νὰ φορτώσῃ τίποτες μὲ δίκαιον, χωρὶς μὲ τὴν εἴδησιν ἐκεινοῦ ὁποῦ ἔνι ὁ τοῖχος, καὶ ὄχι ἀλλοίως, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν.

ρμθ. Περὶ τῆς ζημίας τὴν λαμβάνει κανεὶς ἄνθρωπος ἢ καμμία γυναῖκα ἔξω τοῦ τοίχους τῆς οἰκίας του, ποταπὸν δίκαιον χρὴ γενέσθαι.

Ἐὰν γένηται ἀπὸ καμμίαν ἀφορμὴν ὅτι κανεὶς μπουργέζης ἢ καμμία μπουργέζαινα βάλλει κανένα πρᾶγμαν ἔξω τοὺς τοίχους τοῦ ἐσπιτιοῦ του, ἢ ἐπάνω σκαμνίου, ἢ ἐπάνω μιᾶς κρεμάστας, καὶ γίνεται ὅτι εἷς ἄνθρωπος φορτωμένος ξύλα, ἢ ἑτέρου ἄλλου φορτίου, ἢ μία κάμηλα, ἢ ἕναν γονικόν, ἢ ἕτερον κτῆνος φορτωμένον διαβαίνοντα ἀπ' αὐτοῦ καὶ χαλᾷ ἐκεῖνον τὸν ἐκεῖνος ὁ μπουργέζης ἢ ἡ μπουργέζαινα ἐβάναν ἔξω τοῦ ἐσπιτιοῦ τους, τὸ δίκαιον καὶ τὸ κείμενον ὁρίζει ὅτι κανεὶς οὐδὲν ἔχει τίποτες, οὐδὲν ἐντέχεται νὰ τοὺς ἀμαντιάσῃ ἀπ' ἐκείνην τὴν ζημίαν μὲ δίκαιον, διότι κανεὶς οὐδὲν ἔχει τίποτες ἔξω τοὺς τοίχους τῶν ἐσπιτιῶν του· ἀμὲ ἐὰν γίνεται ὅτι κανεὶς ἄνθρωπος νὰ ἐβρούθησεν αὐτὸν θεληματικῶς
φ.106. | τὸ κτηνὸν τὸ φορτωμένον, ἢ τὸν ἄνθρωπον τὸν φορτωμένον, ἔνι κρατημένος νὰ ἱκανώσῃ ὅλην τὴν ζημίαν τὴν ἐποῖκεν ἐκεῖνος ὁποῦ ἔπεσεν ἐπάνω τοῦ μπουργέζη, ἢ τῆς μπουργέζαινας, ἢ ἄλλου

τινός· καὶ ἔνι δίκαιον, ἐὰν τὸ κτηνὸν λαβωθῇ, ἢ ἐχενώθην, ἢ ἐτσακίστην τὸ ἐβάσταν, ὅλον ἐντέχεται νὰ τὸ ἀμαντιάσῃ μὲ δίκαιον· καὶ ἐὰν ἐκεῖνον τὸν πτωχὸν τὸν ἄνθρωπον τὸν ἔρριψεν εἰς τὴν γῆν μὲ τὸ βρούθισμάν του, ἂν ἐλαβώθην, ἔνι κρατημένος νὰ ποίσῃ νὰ τὸν ὑγιάνουν, καὶ νὰ τοῦ δώσῃ τὴν ζωήν του ἕως ὁποῦ νὰ ὑγιάνῃ οὕτως ὡς γιὸν ἦτον ὄντα τὸν ἔρριψεν· εἰ δὲ ἐμίσαν τον ἐκεῖνον καὶ ἐπαράβλεπέν τον νὰ τοῦ κακοποιήσῃ, καὶ διὰ τοῦτον τὸν ἐβρούθησεν καὶ ἐλαβώθην διὰ πάντοτε, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος ὁποῦ τοῦτο ἐποῖκεν, ἂν ἔνῃ ὅτι ἐπιάσαν τον, πρέπει νὰ κόψουν τὸν γρόθον του, καὶ μὲ τὸ αὐτὸν νὰ ἔνῃ κίτες ἀπ' ἐκείνην τὴν κακοπραξίαν, μὲ δίκαιον.

Ἐφειδὴ ἠκούσατε τὸ δίκαιον τῶν ἄλλων κρισιμάτων, κείμενον ἔνι νὰ ἠγνωρίζετε ἐκεῖνον τὸ ὁ νόμος καὶ ἡ ἀσίζα ὁρίζει περὶ τῶν ἁρμασιῶν, καὶ ποῖα ἁρμασία ἀξιάζει, καὶ ποία οὐδὲν ἀξιάζει, οὐδὲ πρέπει νὰ τὴν κρατοῦν, οὔτε καβαλλάρης, οὔτε πουργέζης, οὐδὲ λίζιους· ὅτι τοιοῦτον δίκαιον ἐντέχεται νὰ ἔνῃ εἰς τὴν ἁρμασίαν τοὺς πουργέζηδες, ὥςπερ τοὺς καβαλλάρους, ἂν οὐ μὴ εἶχαν θέσπισιν, λοιπὸν οὐδὲ νόμος ἤθελεν εἶσται, οὐδὲ ἡ ἀσίζα.

ρν. Ἀρχεύει καὶ πολομᾷ ἀρχὴν μερικῶν κρισιμάτων.

Ὅλον τὸ κεφάλαιον νόμιμον γράφεται ἀλατίνικον, καὶ διαλοποιεῖ τὸ κάτωθεν εἰς τὸ καθέναν κεφάλιν.

ρνα. Περὶ πόσων χρονῶν πρέπει νὰ ἔνῃ ὁ ἄνθρωπος καὶ πόσον ἡ γυναῖκα πρὶν ὁρμαστοῦν εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐκκλησίαν.

Ἠγνωρίζετε καλά, καὶ καλὰ ἐντέχεται νὰ | ἠξεύρουν πάντες φ.107.
οἱ ἄνθρωποι καὶ ὅλαις ἡ γυναῖκες, ὅτι ἡ καλὴ ἅρμα 'ς τὰ παιδιά τους καὶ οὕτως πορεύεται καθὼς ἡμεῖς σᾶς εἴπαμεν ἄνωθεν, καὶ ὁμοίως οὕτω λέγει ἡ εἰς τὸν νόμον, ὡς ὅτι ἂν ὁ Ἀδὰμ ἔζεν ὡς αὐτὸς καὶ νὰ ἐχήρεψεν, οὐδὲν ἤθελεν ἠμπορήσει κείμενα νὰ λάβῃ, διότι ἡμεῖς πάντες εἴμεσθεν υἱοὶ καὶ κόραις

τοῦ Ἀδὰμ καὶ τῆς Εὔας τῆς γυναικός του, ὅτι οὗτος ἦν ὁ ἀρχηγός μας πατὴρ καὶ ἡ ἀρχή μας μητέρα· ὁ νόμος καὶ ἡ ἀσίζα ὁρίζει καὶ καλὰ λαλεῖ ὅτι τὸ ἀνδρόγυνον νὰ ἔνῃ οὕτως καλὸν ὅτι πλεῖον χωρησίαν οὐκ ἔχουσιν ἐφ' ὅλον χρόνον τῆς ζωῆς αὐτοῦ, ὅτι οὕτως λέγει ὁ ἁγιώτατος Παῦλος ὁ ἀπόστολος « ἡ γυνὴ οὐκ ἔχει ἐξουσίαν εἰς τὸν ἑαυτόν της, ἀλλὰ ὁ ἀνὴρ αὐτῆς, ὁμοίως οὐδὲ ὁ ἀνὴρ ἔχει ἐξουσίαν εἰς τὸν ἑαυτόν του, ἀλλὰ ἡ γυνὴ αὐτοῦ ».

ρνβ. Περὶ ποίας αἰτίας ἠμπορεῖ νὰ χωριστῇ τὸ ἀντρόγυνον ὁποῦ γέγονεν ὡς ἀπαιτεῖ.

Ἐὰν γένηται ὅτι κανεὶς ἄνθρωπος πάρει γυναῖκαν καὶ ἔνι παρακάτω τῶν δεκατριῶν χρονῶν, ὁμοίως καὶ ὁ ἄνθρωπος καὶ ἡ γυναῖκα παρακάτω τῶν ιγ' χρονῶν, ὡς ἄνωθεν ἐλαλήθην, τὸ
φ.108. δίκαιον ὁρίζει ὅτι νὰ χωριστοῦν ἐκεῖνον τὸ ἀντρόγυνον μὲ δίκαιον ἄνευ καμμίας ζημίας, ἤγουν πέρας, καὶ ἄνευ ἁμαρτίας, ἂν τὸ θέλουν οἱ δύο [μ]έρη, ἢ ἂν τὸ θέλῃ ἡ μία μερία· καὶ ἂν ὁ ἱερεὺς ὁποῦ τοὺς ἅρμασεν ἐκάτεχεν ὅτι ἦσαν παρακάτω τοῦ ἔτους τὸ ἐθέσπισαν, καὶ ἅρμασέν τους κρυφὰ μὲ τὴν κακουργίαν του, ἢ διὰ παρακαλήσεως τοῦτο ἐποίησεν, οὗ διὰ καμμίαν δωρεὰν τὴν τοῦ ἐδῶκαν, ὁ νόμος καὶ ἡ ἀσίζα ὁρίζει οὐδὲν ἐντέχεται νὰ ἱερουργήσῃ ὥς που νὰ σωθῇ τὸ ἀντρόγυνον τὸ ὥρμασεν εἰς τὸ ἔτος του, διατὶ κακὰ τοὺς ὥρμασεν, τὸ ἄνωθεν λαλημένον, καὶ νὰ πάγῃ εἰς τὸν ἁγιώτατον πατέραν τὸν ἀπόστολον νὰ τοῦ συγχωρήσῃ, ὅτι οὕτως ἔνι κείμενον καὶ δίκαιον· ἐὰν ἐτελείωσαν τὸν γά|μον καὶ ἐκοιμήθην ὁ γαμβρὸς τῆς νύφης, οὐδὲν ἠμποροῦν νὰ χωριστοῦν ἐκεῖνον τὸ ἀντρόγυνον μὲ δίκαιον, ὁμοίως ὥσπερ νὰ ἤθελαν καὶ ἀμφότεροι, ὁμοίως ἂν οὐδὲν εἶχεν ἕτερον εὔλογον αἰτίαν, ὥσπερ ἂν ἐσυγγενίαζεν ἀπὸ συγγένειαν.

ρνγ. Περὶ ἐκείνου ὁποῦ εὐλογᾶται γυναῖκαν καὶ συγγενιάζει του, καὶ περὶ τοῦ ἱερέως ὁποῦ τοὺς εὐλόγησεν καὶ ἐκείνους ὁποῦ ἦσαν εἰς τὸν γάμον ποταπὴν τιμωρίαν νὰ λάβουν.

'Εὰν γένηται ὅτι κἄτις ἄνθρωπος, κἄν τε καβαλλάρης, ἢ μπουργέζης, ἢ ἕτερος ἄνθρωπος τοιοῦτος, ὡς γιὸν νὰ ἔνῃ, ἢ ψηλός, ἢ χαμηλός, ἐπάρῃ τὴν ἀνηψιάν του ἕως τὸν τρίτον βαθμόν, ἢ εἰς τὸν τέταρτον, τὸ δίκαιον ὁρίζει καὶ ὁ νόμος ὅτι αὐτὸς ὁ γάμος νὰ χωριστῇ μὲ τοιοῦτον, ὅτι ὁ ἄνδρας καὶ ἡ γυνὴ ἀμφότεροι νὰ γένωνται μοναχοί, καὶ εἴ τι καὶ ἂν ἔχουν, ὥσπερ ψουμία, ἢ χωράφια, ἢ χωρία, κἄν τε τοῦ ἀνθρώπου, κἄν τε τῆς γυναῖκας, ἢ ἐὰν τὸ ψουμὶν χρεωστῇ δούλεψιν, ἢ ἄνθρωπου δὲν χρεωστῇ, ἐντέχεται ὅλον νὰ ἔνῃ τοῦ αὐθέντη μὲ δίκαιον· ὅτι ἂν εἶχεν ποίσει παιδία ἀπ' αὐτὴν τὴν ὁρμασίαν ὅσον ἦσαν ἐν τῷ ἅμα, οὐδὲν ἀδυναστικοῦ τρόπου, οὗ κἄν τε ὁ κύριος καὶ ἡ ἐκκλησία ἐβαστοῦσάν το, τὸ κείμενον σὺν τὸ δίκαιον ὁρίζουν ὅτι ἐκεῖνα τὰ παιδία οὐδὲν ἔνι παντὸς κληρονόμοι, οὐδὲ ἐντέχουνται νὰ κληρονομήσουν τίποτες, οὐδὲ νὰ λάβουν τίποτες ἀπαὶ τὰ ἀγαθὰ τὰ ἦσαν τοῦ πατρός τους, ἢ τῆς μητρός τους, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν, ἀμὲ πρέπει νὰ ἔνῃ ὅλα τοῦ αὐθέντη· καὶ ὁ ἱερεὺς ὁποῦ τοὺς εὐλόγησεν καὶ ἐγίνωσκεν ὅτι ἐσυγγενιάζαν ἐντέχεται νὰ ἔνῃ κρατημένος εἰς ὅλας τὰς ἡμέρας τῆς ζωῆς του ἀποὺ ἐφφίκιν, ὁμοίως καὶ ὁ ἀναγνώστης ἂν τὸ ἐγίνωσκεν, καὶ ὅλοι καὶ ὅλαις ὁποῦ ἦσαν εἰς τὸν γάμον καὶ ἠξεῦραν τὴν συγγενίαν ἔνι ἀφωρισμένοι, νὰ μηδὲν ἔχουν μερτικὸν ἀπαὶ τὰ ἀγαθὰ | τῆς ἁγίας φ.109.
ἐκκλησίας, οὐδὲ νὰ εἰσέλθουν εἰς τὴν ἁγίαν ἐκκλησίαν ἕως ὅπου νὰ συχωρηθοῦν ἀπ' ἐκείνην τὴν ἀνομίαν καὶ ἀπ' ἐκεῖνον τὸ παράπτωμαν διὰ το[ῦ] ἐπισκόπου τῆς χώρας, ἢ παρὰ τοῦ πατριάρχου. 'Αμὲ ἂν ἴσως ὅτι ἐκεῖνος ἢ ἐκείνη ὁποῦ ἐσυγγενιάζασιν, ὡς ἄνωθεν ἐλαλή[θη]ν ὁποῦ εὐλογήθησαν, εἶχαν ἕτερον ἔγγιστα συγγενῆν, ὥσπερ παρὰ τῆς γυναικός, ἢ παρὰ τοῦ ἀνδρὸς ἀπεκεῖ ἀποῦ ἐξέβην τὸ ψουμὶν τοῦτον, καὶ ἦτον τοιοῦτον κορμὶν ὅτι ἐπορεύετο δικαῖα πρὸς τὸν ρῆγαν, ἢ πρὸς τὴν αὐθεντίαν τῆς χώρας, καὶ ἦτον τοῦ ἔτους, νὰ ζηλώσῃ ἐκεῖνον τὼ συγγε-

νὴν τοῦ ἐκρατοῦσαν τὸ ἐνομεύτην ὁ ρήγας μὲ τοὺς ἀρχηγοὺς τὴν εἴδησιν μὲ δίκαιον τὸν ρήγαν, ἢ τὴν αὐθεντίαν τῆς γῆς, ἢ τὴν κυράν, ἔνι κρατημένοι μὲ δίκαιον νὰ τοὺς στρέψουν ἐκεῖνον τὸ ἐκεῖνοι οὐδὲν ἠμποροῦσαν πλεῖον νὰ κρατήσουν, οὐδὲ νὰ ἔνῃ πλεῖον ποτὲ κληρονόμους· καὶ ἂν ἴσως ὅτι ἐκεῖνος, ἢ ἐκείνη ὁποῦ ἔμπαινεν τὸ ψουμίν, οὐδὲν ἦλθε νὰ τὸ ζητήσῃ μέσα εἰς τὸν χρόνον καὶ εἰς τὴν ἡμέραν, ἀφ' οὗ ὁ ρήγας, ἢ ἡ ρήγαινα νὰ νομευτῇ τὸ ψουμὶν ἐκεῖνον, ἢ κεῖνον τὸ χωρίον, ὁ ρήγας οὐδὲν ἔνι πλεῖον κρατημένος νὰ στρέψῃ ἐκεῖνον τὸ ἐνομεύτην ἐκεινοῦ, ἐφειδὴ ἐδιάβην χρόνος καὶ ἡμέρα, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν, ἀμὲ ὅλον ἔνι τοῦ αὐθέντη· εἰ δὲ μὴ ἔχοντα κληρονόμους, καθὼς ἄνωθεν δηλοῖ, τὸ κείμενον καὶ τὸ δίκαιον ὁρίζει ὅτι νὰ ἔνῃ τοῦ αὐθέντη τῆς χώρας, ὅτι αὐτός ἐστιν δίκαιος κληρονόμος τούτης τῆς παρανομίας καὶ τούτου τοῦ ἁμαρτήματος, καὶ τούτου τοῦ ἀδίκου τὸ γενόμενον κατὰ πρόσωπα κυρίου τοῦ θεοῦ καὶ κατὰ πρόσωπα τῶν καλῶν κουστουμιῶν τοῦ ρηγάτου τῶν Ἱεροσολύμων τὸ ἐθέσπισαν οἱ καλοπίχεροι καὶ ἐνάρετοι καὶ καλοὶ ρηγάδες ὁποῦ ἦσαν ἀπῶδε καὶ ὀπίσω, καὶ ἂν οὐδὲν θελήσουν νὰ δο-
φ.110. θοῦν εἰς | ρετιτζιοῦν, νὰ γίνουνται μοναχοί, ἢ συναδελφοί, καθὼς σύρνουν οἱ λατῖνοι· ἀμὲ ἐὰν ἐφύγαν ἀποὺ τὴν χώραν καὶ νὰ ἐξενητεύτησαν, ὅλα τους τὰ ἀγαθὰ ὁρίζει ἡ ἀσίζα ὅτι ἐξῶλα ἐντέχεται νὰ ἔνῃ τοῦ αὐθέντη τῆς χώρας μὲ τὸ δίκαιον· καὶ ἐὰν ὁ ἱερεὺς ὁποῦ τοὺς εὐλόγησεν οὐκ ἐγίνωσκεν ὅτι ἦσαν συγγενάδες, οὐδὲ ἐλαλήθην του παρά τινος νὰ μηδὲν τοὺς εὐλογήσῃ, τὸ δίκαιον ὁρίζει ὅτι οὐδὲν ἐντέχεται νὰ ἔχῃ καμμίαν τιμωρίαν ἀπ' ἐκεῖνον τὸν γάμον νὰ δὲν ἐγίνωσκεν, (τοιοῦτον δίκαιον πρέπει νὰ ἔνῃ ἐκείνους ὁποῦ ἦσαν εἰς τὸν γάμον καὶ οὐκ ἐγινῶσκαν ὅτι ἐσυγγενιάζαν), οὐ χρὴ ἀποβάλλεται.

ρνδ. Περὶ τοῦ πῶς δεῖ γυναῖκαν χαρτωθῆναι καὶ εὐλογη-

θῆναι εἰς τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, καὶ ποῖος γάμος ἦν δεκτός, καὶ ποτάπην τιμωρίαν καὶ ζημίαν ἐντέχεται νὰ πλερώσουν εἰς τὴν ἐκκλησίαν ἀπ' ἐκεῖνον οὗ ἀπ' ἐκείνην ὁποῦ ὁ γάμος ἐκωλύθην.

Ἐὰν γένηται ὅτι κἄποιος ἄνθρωπος θελήσει νὰ λάβῃ γυναῖκαν, ὅποιος καὶ ἂν ἔνῃ, κἄν τε καβαλλάρης, κἄν τε μπουγέζης, τὸ δίκαιον ὁρίζει ὅτι ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία οὐδὲν πρέπει νὰ τοὺς εὐλογήσῃ, ἐὰν οὐ μὴ τοὺς χαρτώσῃ ἀπ' ἀρχῆς εἰς τοιούτην τάξιν, τουτέστιν ἐκεῖνος ὁποῦ θέλει νὰ λάβῃ γυναῖκαν νὰ ὁμόσῃ εἰς τὰ ἅγια, ὅτι οὐκ ἔχει γυναῖκαν ζωντανήν, ἀρμασμένην, ἢ χαρτωμένην, οὐδὲν συμπαμένον τάξιμον ἀπαὶ τὸ ποῖον οὐδὲν ἠμπορεῖ καλὰ καὶ νόμιμα νὰ λάβῃ αὐτὴν τὴν γυναῖκαν τὴν θέλει νὰ πάρῃ τώρα, καὶ αὐτὸν τὸν ὅρκον ἐντέχεται νὰ ὁμόσουν καὶ τὰ δύο μέρη, ὁμοίως νὰ ὁμόσουν β' ἄνθρωποι διὰ λόγου του εἰς τὴν τάξιν, ὡς προδεδήλωται, ὁμοίως καὶ διὰ τὸ ἄλλον μέρος β' γυναῖκες νὰ ὁμόσουν ὡσαύτως, καὶ οὕτως δεῖ γινέσται, καὶ οὕτως ἦν τὸ χάρτωμαν δεχτόν· καὶ τότες ἐντέχεται νὰ λάβῃ ἡ ἐκκλησία καιρὸν πότε νὰ γίνεται ὁ γάμος, καὶ διατί, ὅτι μέσα εἰ|ς τὸ αὐτὸν τάρμενον ἐνδέχεται νὰ δια- φ.111.
λαλήσουν εἰς γ' ἡμέρας εἰς τὴν πρώτην λειτουργίαν, καὶ ἐντέχεται νὰ 'πῇ οὕτως ὁ ἱερεύς· « πολεμῶ σας νὰ ἠγνωρίζετε, αὐθένταις καὶ κυράδες, ὅτι ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία, ὅτι ὁ δεῖς ἄνθρωπος μέλλει νὰ εὐλογηθῇ μὲ τὴν τοιούτην γυναῖκαν εἰς τούτην τὴν ἡμέραν, καὶ ἐὰν ἔνῃ ὅτι κανείς, ἢ καμμία γυναῖκα γινώσκει κανέναν πρᾶγμαν νὰ πῇ διὰ νὰ κωλυθῇ ὁ αὐτὸς γάμος, ἂς ἔλθῃ ὀμπρὸς νὰ τὸ πῇ πρὶν λογηθοῦσιν »· καὶ ἂν οὐδὲν ἔλθῃ κανεὶς μέσον τοῦ αὐτοῦ τέρμενου, ἤγουν τῶν γ' ἡμερῶν, πλεῖον οὐδὲ νὰ πιστευτῇ ἀποὺ εἴ τι νὰ 'πῇ νὰ κωλυθῇ ὁ γάμος ἀποὺ κανέναν κορμὶν ὁποῦ νὰ ἔνῃ εἰς τὴν πόλην, ἐφειδὴ οὐδὲν τὸ εἶπεν εἰς τὸν καιρόν, ἢ εἰς τὸ τάρμε, πρὶν εὐλογηθοῦσιν, καὶ τοῦτος ὁ γάμος ἔνι δεκτὸς μὲ δίκαιον,

μὲ τοιοῦτον ἂν οὐδὲν συγγενιάζουν ἀποὺ καμμίαν συγγενότηταν, καθὼς ἄνωθεν εἴπαμεν, καὶ οὕτως ἔνι νόμιμον καὶ δίκαιον, κατὰ τὴν ἀσίζαν τῆς Ἱερουσαλήμ.

ρνε Περὶ τῶν χαρτωμάτων καὶ τῶν μετανωμάτων νὰ πλερώσουν.

Ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος ἐχαρτώθην μίαν γυναῖκαν, καθὼς ἄνωθεν ἐλαλήθην, καὶ ἐβάλαν ἀναλογίαις εἰς τὸ χάρτωμαν, καὶ γίνεται μετὰ ταῦτα ὅτι κᾶτις μεταγνώθει ἀπ᾿ ἐκεῖνον τὸν γάμον νὰ τελειωθῇ, τὸ δίκαιον ὁρίζει ὅτι καλὰ ἠμποροῦν νὰ μετανώσουν ὄγιος θέλει, ἢ ὁ ἄνθρωπος, ἢ ἡ γυναῖκα, μὲ τοιοῦτον, νὰ πλερώσῃ ἐκεῖνος, ἢ ἐκείνη ὁποῦ νὰ μετανώσῃ τὰ ἐβάλλασιν, καὶ μετὰ ταῦτα νὰ ἔνῃ κίτες κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν, καὶ μετὰ ταῦτα ἠμπορεῖ νὰ λάβῃ ἑτέραν γυναῖκαν, καὶ ἡ γυναῖκα ἕτερον ἄνδραν, χωρὶς νὰ ἔνῃ κρατήμενοι πλεῖον ὁ εἷς τοῦ ἑτέρου διὰ αὐτὸν τὸ μνήστευμαν, ἤγουν χάρτωμαν.

ρνϛ. Περὶ ἐκείνου ὁποῦ ἐχαρτώθην γυναῖκαν καὶ οὐδὲν θέλει νὰ τὴν λάβῃ, καὶ ἔδωκέν της κανέναν πρᾶγμαν, ἂν ἠμπορῇ πλεῖον νὰ τὸ λάβῃ, ἢ ὄχι.

φ.112. Ἐὰν γένηται ὅτι κᾶτις ἄνθρωπος ἐχαρτώθην γυναῖκαν | καὶ μετὰ ταῦτα οὐδὲν τὴν πέρνει, καὶ ἔδωκέν της κᾶτι πράγματα, τὸ δίκαιον ὁρίζει καλὰ ὅτι ἐκεῖνος ἠμπορεῖ νὰ ζητήσῃ ἐκεῖνον τὸ τῆς ἔστειλεν, καὶ ἐντέχεται νὰ τοῦ τὸ στρέψῃ ἡ γυναῖκα μὲ δίκαιον, ἂν οὐδὲν εἶχεν τοιούτην ὄρεξιν ὄνταν τῆς τὸ ἔστειλεν ἐκεῖνον ὁποῦ τῆς ζητᾷ, καὶ ἂν τὸ εἶχεν ὁμοίως μέσα ὅτι οὐδὲν τὴν ἤθελεν χαρτωθῆν· καὶ τοῦτο ἔνι δίκαιον ὅτι ἠμπορεῖ νὰ ἀναλάβῃ τὸ τῆς ἔδωκεν, ἢ τὸ ἐποῖκεν νὰ τῆς δώσουν ἐκείνην τὴν ἤθελεν νὰ εὐλογηθῇ, ἐφειδὴ οὐδὲν ἔμεινεν ἐξ αὐτόν του, οὐδὲ εἰς τὸ μῆρος του νὰ μηδὲν τὴν πάρῃ διὰ γυναῖκαν, ἀμὲ ἔμεινεν ἀπαὶ τὸ μέρος τῆς γυναικός, ἢ ἀποὺ κᾶτιναν ἀπαὶ τοὺς ἐδικούς της· ἀμὲ ἂν ἔμεινεν εἰς ἐκεῖνον νὰ μηδὲν τὴν

πάρῃ, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος οὐδὲν ἠμπορεῖ πλεῖον νὰ ἀναλάβῃ τὸ τῆς ἔδωκεν τῆς γυναίκας μὲ δίκαιον, οὐδὲ κατὰ τὸν νόμον, οὐδὲ κατὰ τὴν ἀσίζαν, καὶ τοιοῦτον ὅμοιον δίκαιον, ὡς ἄνωθεν ἐλαλήθην, τῆς ἱκάνωσης τὸ εἶχεν δώσει, καὶ τοιοῦτον ὅμοιον δίκαιον ἔνι ἀπ' ἐκεῖνον τὸ νὰ δώσῃ ἡ γυναῖκα, ἢ ἂν τοῦ ἔστειλεν ἐκείνου ὁποῦ ἔμελλε νὰ τὴν πάρῃ διὰ γυναῖκα καὶ ἐχαρτώθην την.

ρνζ. Διὰ ἐκεῖνον, ἢ διὰ ἐκείνην ὁποῦ χαρτόνεται ἄνδραν, καὶ ἀπεθαίνει ὁ εἷς ἢ ὁ ἄλλος πρὶν εὐλογηθοῦσιν, καὶ ταῦτα νὰ γίνεται ἀπαὶ τὰ πράγματά τους ὁποῦ μένουν τοὺς συγγενεῖς αὐτῶν.

Ἐὰν γένηται ὅτι κανενεὶς ἄνθρωπος ἐχαρτώθην γυναῖκαν, καὶ ἔδωκέν της, ἢ ἐποῖκεν νὰ τῆς δώσουν κανέναν πρᾶγμαν, ὥσπερ ἐλαλήθην ἄνωθεν, καὶ γίνεται ὅτι εἷς ἀπαὶ τοὺς δύο ἀπεθαίνει πρὶν τοῦ ἄλλου, τουτέστιν ἀνεπιάστησαν, τὸ δίκαιον ὁρίζει ὅτι οὐδὲ ἐκεῖνος, οὐδὲ οἱ συγγενάδες του, οὗ οἱ κληρονόμοι του ἠμποροῦν, οὗ χρεωστοῦ νὰ ζητήσουν ἀπ' ἐκεῖνον τὸ ἔδωκεν τῆς γυναικός, ἢ ἡ γυναῖκα τοῦ ἀνδρὸς ὁποῦ ἐτελεύτησεν, παρὰ τὸ ἥμισον ἐκεῖνον τὸ τῆς ἐδόθην· ἀμὲ ἂν τὴν ἐφίλησεν εἰς τὸ χάρτωμαν, κανεὶς | ἐξ αὐτόν της οὐδὲν ἠμπο- φ.113. ρεῖ νὰ ζητήσῃ τίποτες, οὔτε ἀπαὶ τοὺς κληρονόμους του τοῦ ἀπεθαμένου, οὐδὲ ἐκεῖνος ὁποῦ ἐδόθην ἡ δόσις, οὔτε ἂν ἡ δόσις γέγονεν πρὶν παρὰ νὰ χαρτωθοῦν, οὐδὲ ἠμποροῦν νὰ ζητήσουν τίποτες, οὐδὲν ἔχουν μὲ δίκαιον οἱ κληρονόμοι τοῦ τεθνεῶτος ἀπ' ἐκείνην τὴν δόσιν, κατὰ τὸ κείμενον καὶ κατὰ τὴν ἀσίζαν τοῦ ρηγάτου τῆς Ἱερουσαλήμ.

ρνη. Κερὶ τῆς γυναικὸς τῆς χήρας ἀποῦ εὐλογᾶται ἕτερον ἄνδραν μέσα εἰς ἐκεῖνον τὸν χρόνον ὁποῦ ἐτελεύτησεν ὁ ἀνὴρ αὐτῆς.

Ἐὰν γένηται ὅτι μία γυναῖκα πάρῃ ἄνδραν, καὶ μέσα εἰς τὸν χρόνον ἐτελεύτησεν ὁ ἀνὴρ αὐτῆς, τὸ δίκαιον ὁρίζει ὅτι

οὐδὲν πρέπει νὰ πάρῃ ἄλλον ἄνδραν ἕως νὰ περάσῃ χρόνον α' καὶ ἡμέραν μίαν, καὶ ἂν τὸ ἐποῖκεν, τουτέστιν ἐπῆρεν ἄλλον ἄνδραν πρὶν διαβῇ ὁ χρόνος καὶ ἡμέρα ἀπὸ θανάτου τοῦ πρώτου ἀνδρός της, τοιούτην τιμωρίαν τῆς ἐθέσπισαν, ὅτι ἂν γένηται ὅτι κανεὶς ἄνθρωπος ξένος νὰ ἦλθεν εἰς τὸν θάνατον καὶ νὰ τῆς ἀφῆκεν κανέναν πρᾶγμαν εἰς τὴν διαθήκην του, οὐδὲν ἠμπορεῖ τὸ καθόλου νὰ ἔχῃ τίποτες, κἄν τε ἐὰν καὶ συγγενής της ἐστίν, ἢ οὐχί, οὐδὲν ἐντέχεται νὰ τῆς δώσουν τίποτες ἐκείνης, οὐδὲ ἐκεῖνοι ὁποῦ ἔχουν τὰ πρᾶγμα τοῦ τεθνεῶτος ἢ εἰς παρακαταθήκην, ἢ εἰς βλέπισιν, καὶ ἂν τὸ ἐπερίλαβεν, ὁρίζει τὸ δίκαιον· ὅτι οὐδὲν ἐντέχεται νὰ τὸ κρατήσῃ, ἀμὲ νὰ τὸ στρέψῃ μὲ δίκαιον τοὺς κληρονόμους ἐκείνου ἀποῦ τῆς τὸ ἀφῆκεν, καὶ ἂν οὐδὲν θελήσῃ νὰ τὸ στρέψῃ τοὺς κληρονόμους τοῦ τεθνεῶτος ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία, ἢ ἡ ρηγικὴ αὐλὴ ἐντέχεται νὰ τὴν ποίσου νὰ τὰ στρέψῃ, μὲ δίκαιον.

ρνθ. Περὶ τῆς ἑτέρας τιμωρίας τὴν ἐντέχεται νὰ λάβῃ ἐκείνη ἡ γυναῖκα ὁποῦ πάρῃ ἄνδραν πρὶν διαβῇ ὁ χρόνος καὶ ἡ ἡμέρα ἀποὺ τοῦ θανάτου τοῦ ἀνδρός της τοῦ πρώτου, ἢ ἂν ἔγκυος γίνεται μέσον τοῦ ῥηθέντος χρόνου ἄπαυτα.

φ.114. Ὁμοίως ἐὰν γένηται ὅτι καμμία γυναῖκα ὁποῦ|ναι χήρα καὶ πάρει ἕτερον ἄνδραν μέσον εἰς ἐκεῖνον τὸν χρόνον ὁποῦ ἐπέθανεν ὁ πρῶτός της ἄνδρας, ὁποῦ ἐτελεύτησεν, γίνεται τῆς τοιούτης τιμωρίας θεσπισμένη, ὅτι ἂν τῆς ἀφῆκεν κανέναν πρᾶγμαν εἰς τὸν θάνατόν του οὐδὲν ἐντέχεται νὰ τὸ λάβῃ, καὶ ἂν τὸ λάβῃ, οὐδὲν ἠμπορεῖ νὰ τὸ κρατήσῃ, εἰ δὲ ἂν τὸ κρατήσῃ, ἕτερος οὐδὲν ἔνι κρατημένος νὰ τῆς δώσῃ τίποτες, ἀλλὰ ἐντέχεται νὰ τὸ ἔχῃ ὅλον ἐκεῖνον τὸ τῆς ἀφῆκεν ὁ πατήρ, ἢ ἡ μήτηρ τοῦ τεθνεῶτος, ἢ ἡ ἀδελφή του, ἢ τὰ ἀδελφοτέκνιά του, ἢ ἀδελφότεκναίς του, ἢ οἱ ἀνηψιοί του, ἢ ἀνηψιάδες του οἱ πρῶτοι ἢ τὸ δεύτερον πρόσωπον, καὶ ἐὰν ὁ θανεὶς ἀνὴρ οὐκ ἔχει καὶ ἕναν συγγενῆν τοιούτης συγγενείας, τὸ δίκαιον ὁρίζει

ὅτι ὅλον νὰ ἔνῃ τοῦ αὐθέντη τοῦ τόπου μὲ δίκαιον τοῦ ποίου πέφτουν τὰ πάντα· καὶ ὁμοίως ἐντέχεται νὰ ἔχῃ καὶ ἔτερην τιμωρίαν ἡ γυναῖκα ἡ χήρα ὁποῦ ἐπῆρεν ἄνδραν μέσα εἰς τὸν χρόνον ἐκεῖνον ὁποῦ ἐπέθανεν ὁ ἄλλος, ὅτι ἐκεῖνον τὸ πίντωμαν τῆς προίκας της τὸ τῆς ἐφῆκεν ὁ ἄνδρας της ὁ τεθνηκώς, ἢ ἕτερος διὰ λόγου του ὅταν τὴν ἐπῆρεν ἀπάνω τῆς προικός του ἔδωκεν, ἐντέχεται νὰ ἔχῃ τίποτες, ἐὰν καλὰ καὶ ὁ ἄνδρας της εἶπέν της ὅτι ἐὰν τελευτήσῃ παρὰ ἐκείνην ὅτι νὰ τὸ ἔχῃ, οὐδὲν νὰ πάρῃ καθόλου τίποτες ἐκείνη διὰ τὸ οὐδὲν ἔνι δίκαιον.

Ὁμοίως ἀπαῦτα ἐκείνη ἡ γυναῖκα ὁποῦ ἐπῆρεν ἄνδραν προτήτερα παρὰ τὸ ἐντεχάμενον, ἐθεσπίστην τῆς ἑτέρης τιμωρίας, τουτέστιν, ἐὰν γένηται ὅτι κανεὶς συγγενής της πεθαίνῃ ἀδιάτακτος, χωρὶς νὰ ποιήσῃ διαθήκην, ἐκείνη οὐδὲν ἠμπορεῖ, οὐδὲ πρέπει νὰ ἔχῃ τὸ νὰ τῆς κατεβαίνει ἀπὸ συγγένειαν, ἂν οὐδὲν εἶχεν πάρειν ἄλλον ἄνδραν προτήτερα παρὰ τὸ ἐντέχετον. Καὶ τοιούτην ἀπ' αὐτὴν τιμωρίαν πρέπει νὰ ἔχῃ ἐκείνη ἡ γυναῖκα ὁποῦ νὰ ἀγγαστρωθῇ μέσον ἐκείνου τοῦ χρόνου ἀφοῦ ἐτελεύ|τησεν ὁ ἀνὴρ αὐτῆς, κἄν τε τοῦ ἀνδρός της, ἢ ἑτέρου φ.115. παρὰ τοῦ ἀνδρός της, καὶ τοῦτο ἔνι κείμενον κατὰ τὸ δίκαιον, καὶ κατὰ τὸν νόμον, καὶ κατὰ τὴν ἀσίζαν τῶν Ἱεροσολύμων, οὐδὲν ἠμπορεῖ μὲ δίκαιον νὰ λάβῃ τὸ δουέριν της μὲ τοιοῦτον, ὅτι νὰ πωλῇ τὰς κληρονομίας, οὗ τὰ χωράφια, ἢ τὰ ἀμπέλια, ἢ ἕτερα ὑφάσματα εἰς κινητὰ οὐδὲν ἐντέχεται νὰ τὰ πάρῃ εἰς τὴν ἐξουσίαν της εἰς ἀποκοπήν, ἀλλὰ τὸ δίκαιον ὁρίζει ὅτι ἐντέχεται νὰ ἔχῃ τὰς ρέντας τῶν ἀγαθῶν καὶ τὴν ἄφεσιν τοῦ οἴκου τοῦ λέγεται χαρνέσι ἐκείνου τοῦ ἀνδρὸς τοῦ θνεῶτος, ἢ ἐὰν ἐκεῖνον τὸ ἐποῖκεν νὰ τὸ ποίσουν διὰ λόγου του, καὶ ὅλον τὸ δελοιπὸν ἐντέχεται νὰ ἔνῃ τῶν παιδίων τοῦ τεθνεῶτος, ἢ τοὺς συγγενεῖς αὐτοῦ· καὶ ἀπ' ἐκεῖνα τὰ ἀγαθὰ ἐντέχεται νὰ εὐγάλουν τὸ δουέριν της, καὶ παρευθὺς ὅτι νὰ τὸ πάρῃ οὐδὲν ἐντέχεται πλεῖον νὰ ἔχῃ τίποτες ἀπαὶ τὸ ἐδικὸν ἐκείνου τοῦ

πρώτου της ἀνδρὸς διατὶ ἐπῆρεν ἄνδραν προτήτερα παρὰ τὸ ἐντέχετον.

ρξ. Περὶ τοῦ υἱοῦ τοῦ πρώτου ἀνδρὸς ὁποῦ ἔρχεται εἰς τὸν θάνατον, ἂν ἠμπορῇ νὰ ἀφήσῃ τῆς μητέρας του τίποτες ἀπαὶ τὰ πράγματά του.

Ἐὰν γένηται ὅτι ὁ υἱὸς τοῦ πρώτου ἀνδρὸς ἔρχεται εἰς τὸν θάνατον καὶ πολεμᾷ τὴν διαθήκην του, καὶ ἀφήνει κανέναν πρᾶγμαν ἀποὺ τὰ πράγματά του ἐκείνης τῆς μητέρας του, τὸ δίκαιον ὁρίζει ὅτι καλὰ ἠμπορεῖ νὰ τὸ ποιήσῃ, καὶ ἀξιάζει ὅλον ἐκεῖνον τὸ δόμαν ὥσπερ νὰ τὸ εἶχεν δώσει κἄτινος ξένου· ἀληθῶς ὅτι ἐπῆρεν ἄλλον ἄνδραν, ὡς ἄνωθεν ἐλαλήθην, καὶ ἠμπορεῖ νὰ ποίσῃ τὸ θέλημάν του, κἄν τε ὁ υἱὸς αὐτῆς ἐποίησεν διαθήκην, ἢ ὄχι, ἀμὲ ἂν τῆς τὸ δώσῃ ἔμπροσθεν καλοὺς λᾶς, καὶ τοῦτον ἔνι ἐντεχάμενον καὶ δίκαιον κατὰ τὴν ἀσίζαν, καὶ κατὰ τὸ ἐλαλήθην εἰς τὸ ἄλλον τζαπίστριν ἐκεῖ
φ.116. ὁποῦ ἐξηγᾶται ὅτι οὐδὲν ἐντέχεται νὰ πουλήσῃ, οὐδὲ νὰ ἀ|μαχέψῃ τὰ πράγμα τοῦ πρώτου της ἀνδρὸς διὰ τὴν προῖκάν της, ἀλλὰ μόνον νὰ λαμβάνῃ τὰς ρέντας, τοῦτον ἐστὶν ἀληθέστατον ἂν ἔνῃ ὅτι τὰ πράγματα εὐγαίνουν παρὰ τοῦ ἀνδρὸς τοῦ τεθνεῶτος, εἰ δὲ τὰ πράγματα εὐγαίνουν ἀπαὶ τὴν γυναῖκαν, τὸ δίκαιον ὁρίζει ὅτι ἐκείνη ἠμπορεῖ νὰ ποίσῃ τὰς ὀρέξας της, καὶ τοῦτον ἔνι κείμενον καὶ δίκαιον κατὰ τὴν ἀσίζαν.

ρξα. Περὶ ἐκείνου ὁποῦ ἔνι κρατημένος νὰ πλερώσῃ τὴν προῖκαν τοῦ ἀνδρὸς τοῦ τεθνεῶτος τῆς συμβίας του.

Ἐὰν γένηται ὅτι τὸ ἀνδρόγυνον χωρίζεται παρὰ τοῦ θανάτου τοῦ ἀνδρός, τὸ δίκαιον ὁρίζει ὅτι οἱ κληρονόμοι τοῦ τεθνεῶτος, ἢ ἐκεῖνοι ὁποῦ ἔχουν τὰ πράγματά του ἐντέχεται νὰ στρέψουν τὸ δουέριν τῆς γυναικός· ἀμὲ ἐὰν ἡ προῖκα ἐδόθην τοῦ πατρὸς τοῦ τεθνεῶτος, ἢ τῆς μητρός του, ἢ κἄτινος ἀπαὶ τοὺς ἐγγυτάδες, δίκαιον ἔνι ὅτι ἐκεῖνοι ὁποῦ ἐλάβαν τὴν προῖκαν ἐντέχεται νὰ στρέψουν καὶ τὸ δουέριν, εἰδὲ δὲ ἐμεταστάθησαν,

πρέπει νὰ τὸ στρέψουν οἱ κληρονόμοι τους, κατὰ τὸ μερτικὸν τὸ ἔλαβεν ὁ καθὲς ἀπαὶ τὸ ἐδικὸν τοῦ τεθνεῶτος, ὅτι τοῦτον ἔνι δίκαιον καὶ κείμενον κατὰ τὴν ἀσίζαν.

ρξϐ. Ἕνεκεν τίνος ἠμπορεῖ ἡ γυναῖκα νὰ ζητήσῃ τὸ προικιόν της, καὶ πῶς ἐντέχεται νὰ τὸ ἔχῃ.

Καλὰ νὰ ἠγνωρίζῃς ὅτι ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος ὁποῦ ἔχει γυναῖκαν καὶ ἀρχεύει νὰ παίζῃ τὸ ζάριν, καὶ νὰ τρῷ καὶ νὰ πίνῃ ἄμετρα καὶ νὰ ποντίζῃ πάντα ὅσα ἔχει, καὶ διὰ τὸ πόντισμάν του ἀρχεύει νὰ πτωχύνῃ, τὸ δίκαιον ὁρίζει ὅτι ἡ γυναῖκα ἠμπορεῖ καλὰ νὰ ζητήσῃ τὸ δουέριν της, καὶ ἔνι κρατημένος ὁ ἄνδρας αὐτῆς μὲ δίκαιον νὰ λάϐῃ τὸ δουέριν αὐτῆς, ἢ τὴν τιμὴν τὸ ἀξιαζόμενον εἰς χεῖρας τοὺς καλοπίχερους, ἢ εἰς τοιοῦτον τόπον νὰ ἔνῃ σεσωσμένον ἐκείνου ἢ ἐκείνης ὁποῦ ἐντέχεται νὰ τὸ λάϐῃ, ὅτι οὕτως ἔνι κείμενον καὶ δίκαιον κατὰ τὴν ἀσίζαν.

| ρξγ. Περὶ ἐκεινοῦ ὁποῦ οὐκ ἔχει νὰ πλερώσῃ το τὸ δουέριν φ.117.
τῆς γυναικός του, καὶ ἂν ἐντέχεται νὰ ἔχῃ τίποτες κακόν.

Ἐὰν γένηται ὅτι κανεὶς ἄνθρωπος ἐμπαίνει εἰς ἀγκάλεμαν διὰ νὰ στρέψῃ τὸ δουέριν τῆς γυναίκας του, καὶ ἔνι τόσον πτωχὸς ὅτι οὐκ ἔχει πόθεν τὸ στρέψει, τὸ δίκαιον καὶ ὁ νόμος ὁρίζει ὅτι, ἐκεῖνος ἢ ἐκείνη ὁποῦ ἐντέχεται νὰ στρέψῃ ἐκεῖνον τὸ δουέριν καὶ οὐκ ἔχει πόθεν πλερώσει, οὐδὲν ἐντέχεται δι᾽ αὐτοῦ νὰ ἐμπῆ εἰς φυλακήν, οὐδὲ εἰς ἐπιτίμιον νὰ τὸ λάϐουν, ἀμὲ ἐντέχεται νὰ πλερώσῃ ὅσα ἔχει, καὶ τὰ δελοιπὰ ἐντέχεται νὰ ὀμόσῃ ἐπάνω εἰς τὰ ἅγια, ὅτι νὰ τοῦ δώσῃ ὅσον νὰ κάμῃ εὐγάλλοντα τὴν ἔξοδόν του καὶ τὴν ζωήν του στενά, καὶ οὐδὲν νὰ εὐγῇ ἀπαὶ τὴν χώραν, χωρὶς τὴν εἴδησίν του, ἕως ὁποῦ νὰ τὸν πλερώσῃ, καὶ τότες νὰ ἔνῃ ἀμέριμνος, μὲ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν τοῦ ῥηγάτου τῆς Ἱερουσαλήμ.

ρξδ. Περὶ τῶν δωρεῶν τῶν δίδει ὁ ἄνθρωπος τῆς γυναικός του ἀφοῦ τὴν πάρῃ, καὶ ποία δόσις ἀξιάζει, καὶ ποία ὄχι.

Καλὰ νὰ ἠγνωρίζῃ ὅτι κανεὶς ἄνθρωπος οὐδὲν ἠμπορεῖ νὰ ποίσῃ χάρισμαν τῆς γυναικός του ἀφ' ὃν τὴν πάρῃ, χωρὶς ἂν τὸ ποιήσῃ εἰς τὴν ἀποβίωσιν του, ἢ εἰς τὴν διαθήκην του, καὶ ἂν τὸ ποίσῃ εἰς ἄλλην ὁπλήν, οὐδὲν ἀξιάζει ἐκείνη ἡ δόσις, διατὶ τὸ πρᾶγμαν ἔνι ἐπεσαῦτα ἐδικόν της, ὥσπερ νὰ μηδὲν τὸ εἶχεν δώσει, καὶ ἠμποροῦν νὰ τὸ περιλάβουν οἱ κληρονόμοι τοῦ τεθνεῶτος κείμενα ἀπὸ ὅλοις ἐκείνοις ὁποῦ νὰ κρατοῦν τὸ πρᾶγμαν, χωρὶς ἂν οὐδὲν τὸ ἐκράτησεν χρόνον καὶ ἡμέραν, καὶ κανεὶς οὐδὲν ἐγκάλεσεν ἄνθρωπος, οὐδὲ νὰ ζητήσῃ τίποτες, οὐδὲν ἠμπορεῖ νὰ ἀπολογηθῇ τίποτες, μὲ τὸ δίκαιον καὶ μὲ τὴν ἀσίζαν, κανενοῦ κληρονόμου ὁποῦ εὑρίσκεται τὴν ἡμέραν ἐκείνην τοῦ νόμου.

ρξε. Περὶ τὴν δόσιν τὴν νὰ ποίσῃ ὁ κᾶτις τῆς γυναικός του, καὶ ἂν ἀξιάζῃ μὲ δίκαιον.

φ.118. | Τοιούταις φοραῖς γίνεται ὅτι ἄνδρας ἠμπορεῖ καλὰ νὰ ποίσῃ δόσιν τῆς γυναικός του, ὥσπερ ἂν ἐθέσπισεν τοῦτον ὅτι καθημερινὸν ἡ γυναῖκά του νὰ ἔχῃ κάθα μῆναν, ἤγουν ἕναν, ἢ δύο, ἢ ἕναν μάρκον ἀσῆμιν, ἢ περίττου, ἢ παρακάτω, διὰ τὴν ζωήν της, ἢ διὰ νὰ ἀγιώσῃ τὰ παιδιά της, ἢ τὴν ὑποταγήν της, τὸ δίκαιον ὁρίζει ὅτι καλὰ ἠμπορεῖ νὰ τὸ ποίσῃ τούτην τὴν δόσιν, καὶ ἐντέχεται νὰ ἔνῃ στερεωμένη.

λύπει (sic).

ρξϛ. Περὶ πόσας φορὰς δύναται χωρισθῆναι τὸ ἀντρόγυνον, ἀφοῦ γένῃ, τουτέστιν ἀφοῦ ἐσμίκτησαν.

[λευκὴ σελίς].

φ.119. | ρξζ. Περὶ τῶν ἀντρογύνων ὁποῦ χωρίζουνται μὲ κανέναν, λογισμὸν καὶ εὔλογον αἰτίαν.

Ἐὰν γένηται ὅτι μία γυναῖκα χωρίζεται ἀπαὶ τὸν ἄνδραν της ἀποὺ κανέναν αἴτιον τῶν ἄνωθεν λαλημένων, τὸ δίκαιον ὁρίζει ὅτι ὁ ἄνδρας της ἔνι κρατημένος νὰ δώσῃ ἐπεσαῦτα εἰς τὴν μονὴν ὁποῦ νὰ ἐμπῇ ὅσον τοῦ ἔδωκεν εἰς τὴν ἀρμασίαν

εἰς προικιόν, καὶ ἂν ἔνῃ ὅτι τὸ μοναστῆριν οὐδὲν τὴν δεκτῆν διὰ πεσαῦτα, ἔνι κρατημένος νὰ δώσῃ ἐτεσαῦτα διὰ νὰ τὴν λάβουν· καὶ ἂν οὐδὲν ἔχῃ νὰ δώσῃ ὅσον τοῦ ἔδωκεν εἰς τὸ προικιόν της, τὸ δίκαιον ὁρίζει ὅτι οὐδὲν ἔνι κρατημένος νὰ δώσῃ παρὰ ὅσον ἔχει, καὶ ὄχι πλεῖον, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν.

ρξη. Περὶ τῶν ἀνδρογύνων ὁποῦ χωρίζουνται καὶ ἔχουν τέκνα, τίς νὰ τὰ λάβῃ νὰ τὰ τρέφῃ.

Ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος ἐχωρίστην τὴν γυναῖκάν του μὲ καμμίαν εὔλογον αἰτίαν, καὶ ἔχουν τέκνα, καὶ τὸ δίκαιον ὁρίζει ὅτι ἐὰν τὰ παιδία ἔνῃ παρακάτω τῶν δ' χρονῶν, ἐντέχεται νὰ τὰ θρέβῃ ἡ μητέρα τους ἕως ὅπου νὰ γενοῦν ζ' ἐτῶν, καὶ ὁ πατὴρ αὐτοὺς νὰ τοὺς δίδῃ ἀπαὶ τὸ ἐδικόν τους νὰ τρῶσιν καὶ νὰ πίνουν καὶ νὰ ἐντύνουνται καὶ νὰ 'ποδήνουνται, καὶ ὅλα τους τὰ ὀψώνια· εἰ δὲ ἡ γυνὴ ἀστενοῦσα ἀπαὶ τὸ κελέριον, ἢ τῆς κακῆς ἀρρωστίας, τὸ δίκαιον ὁρίζει ὅτι ἐκείνη νὰ μηδὲν ἀναγιώσῃ κανέναν ἀπαὶ τὰ παιδία, ἀμὲ ὁ πατήρ τους ἐντέχεται νὰ τὰ ἀναγιώσῃ, ὅτι ἐν εὐκολίᾳ δύναται ἀποκτεῖναι κανέναν, ἢ νὰ τὸ λαβώσῃ ἀπαὶ τὰ παιδία της, ἢ διὰ τῆς ἀσθενείας, ἢ διὰ τοῦ κελερίου ἀποῦ γλήγορα κολλᾷ· ἀμὲ ἂν ἴσως ὅτι οὐδὲν ἔχει κανέναν ἀπ' αὐτὰς τὰς αἰτίας τὰς ἄνω|θεν λα- φ.120.
λημένας, τουτέστιν ἂν οὐδὲν ἔνῃ κελεφή, ἢ δὲ σεληνιάζεται, ἠμπορεῖ καλὰ νὰ τὰ ἀναγιώσῃ ἕως ζ' χρόνους, ὡς ἄνωθεν γέγραπται, σὺν τοῖς ἐξόδοις τοῦ πατρός τους, κατὰ τὸ δύναται, καὶ μετὰ ταῦτα, ἂν τὰ θελήσῃ ὁ πατήρ τους νὰ τὰ πάρῃ εἰς τὰ παιδία του, καὶ ἐκεῖνα νὰ μηδὲν ἐθελῆσαν νὰ πᾶσιν μὲ τὸν πατέραν τους, ἐὰν ἡ μητέρα οὐδὲν τὰ ξοπλέκεται νὰ τὰ δώσῃ, διὰ τὸ ἐπῆρεν μετὰ ταῦτα ἑτέρην γυναῖκαν, ἢ δι' ἑτέρην εὔλογον αἰτίαν, τὸ δίκαιον ὁρίζει ὅτι οἱ κριτάδες νὰ βιγλίσουν καὶ νὰ ἀκούσουσιν τὴν ὑπόθεσιν τοῦ πατρὸς καὶ τῆς μητρός, καὶ ἐκεῖ ὁποῦ τὰ παιδία νὰ ἔνῃ καλλιῶν ἀναπαμένα, ἐκεῖ ἐν-

τέχεται νὰ τὰ ἀφήσουν, ἕως ὁποῦ νὰ γινοῦν ιβ' ἐτῶν, καὶ τότες ἔχουν ἐξουσίαν νὰ πᾶν, νὰ ἔνῃ κἂν μὲ τὸν πατέραν τους, ἢ μὲ τὴν μητέραν τους, ἢ ὁποῦ νὰ θελήσουν, μὲ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν.

ρξθ. Περὶ τῶν παιδιῶν τῶν γεννημένων ἐκ πορνίας, τῆντα ἐντέχεται νὰ ἔχουν ἀπαὶ τὰς κλήρας τοῦ πατρός τους, ἢ τῆς μητρός τους καὶ εἰς τὰ πράγματά τους.

Ἐὰν γένηται ὅτι εἷς ἄνθρωπος κρατεῖ μίαν γυναῖκαν ὁποῦ οὐκ ἔχει ἄνδραν εἰς τὸ σπίτιν του, καὶ οὐδὲ ἐκεῖνος ἔχει πόθεν γυναῖκαν καὶ συνγίνεται μετ' αὐτὴν καὶ τεκνοποιοῦν, τὸ δίκαιον καλὰ ὁρίζει καὶ ἡ ἀσίζα ὅτι τούτων τῶν παιδίων ἠμπορεῖ καλὰ νὰ τοὺς ἀφήσῃ καὶ εἰς τὴν ζωήν του καὶ μετὰ τὴν ἀποβίωσιν του τὰς κλήρας του καὶ τὸ ἐδικόν του μὲ δίκαιον, διατὶ οὐδὲν ἔχει ἄλλα παιδία γνήσια, οὔτε πατέραν, οὔτε μητέραν· ἀμὲ ἂν ἔχῃ ἕτερα παιδία γνήσια, οὐ πατέραν, ἢ μητέραν, οὐδὲν δύναται τοῦτο ποιῆσαι, ἂν οὐδὲν θέλουν νὰ τὸ δεκτοῦν μὲ τὸ καλόν τους θέλημαν, εἰ δὲ δεκτοῦν τους εἰς ἀδελφοσύνην, καλὰ ἠμποροῦν μετὰ ταῦτα ἐτεσαῦτα νὰ λάβουν ὁ εἷς ὥςπερ τῶν ἄλλων ἀδελφῶν, μὲ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν.

φ.121. | ρο. Καὶ αὐτὸν ἀλατίνικον νόμιμον.

Περὶ τῶν ἀνδρογύνων πότε ἐντέχεται νὰ ὁρμαστοῦν καὶ ἀπὸ τῆντα καιρὸν νὰ μηδὲν ὁρμαστοῦν, κατὰ τὸν νόμον καὶ τὴν ἀσίζαν.

Ἠγνωρίζετε καλὰ ὅτι τὴν ἑβδομηκοστήν, τουτέστιν ἀπαὶ τὴν κυριακὴν τοῦ Ἀσώτου ἄχρι τῆς κυριακῆς τοῦ Θωμᾶ, ἔνι ἡ ἡμέραις καὶ σηκόνουνται ἡ ὁρμασίαις, καὶ οὐδὲν ἐντέχεται κανεὶς νὰ ὁρμάσῃ οὐδὲ τὰς ἡμέρας τῶν μεγάλων λιτανιῶν, οὐδὲ τὰς ἡμέρας τῆς Παρακλήσεως, τουτέστιν ὄντα εὐγάλουν τὸν Δράκον, οὐδὲ τῶν τριῶν ἑβδομάδων πρὸ τῆς ἑορτῆς τῆς Γεννήσεως τοῦ Προδρόμου, οὐδὲ τὰ Γέννα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ

Χριστοῦ ἄχρι μετὰ η' ἡμέρας μετὰ τὰ Φῶτα, οὐδὲν ἐντέχεται κανενεὶς ἄνθρωπος νὰ ὁρμαστῇ, οὐδὲ ὅλας τὰς παραμονὰς τῶν ἁγίων οὐδὲν ἐντέχεται κανεὶς νὰ εὐλογηθῇ, διατὶ ὁ νόμος καὶ αἱ ἁγίαι κανόνες διαφεντεύγουν· καὶ ἐὰν νὰ γίνεται ὅτι κανεὶς ἄνθρωπος εἰς τὰς ρηθείσας ἡμέρας νὰ ὁρμαστῇ μὲ τὸν νόμον καὶ μὲ τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνον τὸ ἀνδρόγυνον οὐδὲν ὠφελεῖ, οὐδὲ τὰ παιδία τὰ νὰ ποίσουν οὐδὲ νὰ ἔνῃ δίκαιοι κληρονόμοι νὰ λάϐῃ τὸ μέλλει νὰ τοὺς κατεϐῇ, καὶ ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία ἔνι κρατημένη μὲ δί[και]ον νὰ χωρίσῃ τὸν αὐτὸν γάμον· ἀμὲ εἰς ὅλας τὰς ἡμέρας τοῦ χρόνου ἠμποροῦν καλὰ οἱ ἄνθρωποι νὰ ποιήσουν χαρτώματα, καὶ ἐνδέχεται νὰ ἀξιάζουν, ἀμὲ οὐδὲν ἐντέχεται νὰ τελειώσουν τὸν γάμον ἔξω τῶν ἡμερῶν τῶν ὡρισμένων. Ἀκομὴ κατὰ τὰ ἅγια κουστούμια ἔνι διαφεντεμένον νὰ μηδὲν λάϐῃ κανεὶς διὰ γυναῖκαν ἐκείνην τὴν γυναῖκαν τὴν ἔλαϐεν ἐκ τῶν βυθῶν τῆς κολυϐήθρας εἰς τὴν ἐκκλησίαν εἰς τὸ ἅγιον βάπτισμαν, οὐδὲ ὁ υἱός του νὰ μηδὲν λάϐῃ εἰς γάμον τὴν θυγατέραν τῆς θυγατρός της τὴν πνευματικήν, ὅτι μετὰ ταῦτα ἐγεννήθην ὅταν τὴν ἔλαϐεν εἰς τὸ βῦθος· ἀλλὰ αὐτὰ (1) τὰ παιδιά του ἐγεννήθησαν πρότήτερα παροὺ νὰ τὴν βαπτίσῃ, | καλὰ ἠμποροῦν νὰ τὰς πάρουν μὲ δίκαιον καὶ κατὰ φ.122. τὴν ἁγίαν πίστιν· ὁμοίως ἔνι διαφεντεμένα ὅτι ὁρμασία μηδὲν γίνεται μέσον χριστιανοῦ καὶ Σαρακηνοῦ. Διότι ὅτι καλὰ ἠγνωρίζετε πάντες οἱ ἄνθρωποι ὅτι κατὰ τὴν ἁγίαν ἀσίζαν τῶν Γεροσολύμων ἔχει ἡ γυναῖκα πάντα τὸ ἥμισον τῶν ἀγαθῶν τὸ νὰ κερδαίσῃ ὁ συμϐίος της μετά της ἀφοῦ τὴν πάρῃ, ὅτι τοῦτο ἔνι κείμενον καὶ δίκαιον κατὰ τὴν ἀσίζαν.

ροβ. Περὶ τῶν ἀνδρογύνων, καὶ εἰς ποίαν αὐλὴν ἐντέχεται νὰ ἀγκαλέσουν ἡ γυνὴ τὸν ἴδιον ἄνδραν ἐὰν τῆς πταίῃ, ἢ νὰ τὴν δέρῃ.

(1) γραπτέον, ἂν τά.

Οἱ κριτάδες τῆς αὐλῆς ἔστοντός τους εἰς τὴν αὐλὴν πρέπουν νὰ ἀκούσουν καὶ νὰ ἀκροθοῦν τὸ ἔκλημαν καὶ τὰς ἀποκρίσεις, καὶ καλὰ νὰ κατανοήσουν, καὶ ἐπάνω ἐκείνου τὸ νὰ ἀκούσουν καὶ νὰ ἀγνωρίσουν ἐντέχεται νὰ ποίσουν κείμενον κρίσιμον εἰς τὸν φανόν τους χωρὶς νὰ πάψουν, ὅτι ὁ νόμος λέγει « οἱ κριτάδες ἐντέχεται νὰ ἔνη τοιοῦτοι νὰ βαδίσουν τὴν εὐθεῖαν ὁδὸν τῆς ἀληθείας καὶ τῆς κρίσης, καὶ οὐδὲν τοὺς μέλει νὰ γυρίσουν δεξιά, οὐ εὐώνυμα, ἀμμὲ ἐντέχεται ἴσα νὰ κρίνου τὸν τρανὸν ὡς τὸν μικρόν, καὶ τὸν φτωχὸν ὡς τὸν πλούσιον, καὶ πάντες ἐκεῖνοι ὁποῦ οὕτως τὸ ποιοῦν ἔνι φίλοι τοῦ θεοῦ, ἐρειδὴν πολομοῦν κρίσι δεκτὴν καὶ ἐντεχάμενη, καθὼς ἐστιν κελευόμενον ἐν τῷ νόμῳ καὶ εἰς τὸ Σύνταγμαν τὸν ἐκάτσα οἱ ἄρχοντες τὸ λέγουν Ἀσίζαν.

ι. Αὐτοῦ λέγει τὸ δίκαιον πῶς οἱ κριτάδες οὐκ ἔχουν ἐξουσίαν νὰ συνϐουλέψουν τινάν, οὐδὲ τίποτες νὰ ἀκούσουν, ἀφὸν καθίσουν ἐπὶ τοῦ θρόνου τους, οὐδὲ νὰ ἀποσκεπάσουν τὰ μυστήρια τῆς αὐλῆς.

Οἱ κριτάδες οὐδὲν ἠμποροῦν, οὐδὲ πρέπου νὰ στερεώσουν, φ. 26. οὐδὲ νὰ συνϐουλέψουν | κανένα ἄνθρωπον, οὐδὲ καμμίαν γυναίκαν, ἐφειδὴν καθίσῃ εἰς τὸν θρόνον τους, οὐδὲ πρέπει νὰ φανερώσουν τὰ μυστήρια τῆς αὐλῆς εἰς κανένα ἄνθρωπον τοῦ κόσμου, καὶ ἂν τὸ ποιήσῃ (1), ἐντέχεται νὰ τὸν ἐϐγάλουν ἀπαὶ τὴν (2) τιμὴν τὴν ἔχει καὶ νὰ τὸν δώξουν ἀπαὶ τὴν χώρα ἕνα χρόνον καὶ μίαν ἡμέρα.

(1) χειρ. καὶ ἂν τὸ ποιήσῃ καὶ ἂν τὸ ποιήσῃ. (2) χειρ. τὴν τὴν μήν.

ια. Αὐτοῦ ἀκούσετε περὶ τῆς ἐξωσίας τὴν ἔχουν οἱ κριταί, καὶ τὸ ἐμποροῦν νὰ ποίσου περὶ κρίσεως εἰς λᾶς ἀσύνπαυτως καμμίας ὑπόθεσεως.

Οἱ κριταί, ἐὰν βούλουνται, ἔχουν τόσον τὴν ἐξουσίαν ὅτι ἠμποροῦν καλὰ νὰ συνπάψουν τοὺς γείτονάς τους τοὺς ἀσυνμπαύτους, οὐ ἑτέρους λᾶς, πρὶν ἀνκαλεστοῦν, καὶ ἐντέχεται ν' ἀποφύγῃ τοῦ κακοῦ, ἂν τὸ θεωροῦν κατὰ τὴν ἐξουσίαν τους, καὶ χρὴ εἶναι ἄνδρες κοινοὶ συνϐουλάτροι, καὶ πρέπει πάντοτες νὰ βλέπουν καὶ νὰ σωτηριάσουν τὸ τέλος τοῦ ἀφέντη τὸ κάλλιον τὸ νὰ κατέχουν· ἀκόμη ἠμποροῦν καλὰ οἱ κριταὶ νὰ συνμπάψουν δύο ἄνδρες πρὶν τῆς κρίσεως γεναμένης, εἰ δὲ γεναμένης τῆς κρίσεως, οἱ κριταὶ οὐ δύνουνται συνμπάψαι αὐτούς, διότι ἠγνωρίζου καλὰ ποῖος ἀπαὶ τοὺς δύο, τουτέστιν τὸν ἀνκαλὸν καὶ τὸν ἀνκαλούμενον, ἔκαμεν.

ιβ. Αὐτοῦ λέγει τῆντα ἐντέχεται νὰ ποίσουν ἐκείνους τοὺς κριτάδες τοὺς ἐθέσπισαν διὰ νὰ ποίσουν κείμενον, καὶ διὰ νὰ συνϐουλέψουν τὰς χήρας καὶ τὰ ὀρφανά, καὶ πάντας ὁποῦ νὰ τοὺς ζητήσουν συνϐουλήν, κἀκεῖνοι οὐδὲν θέλουν νὰ συνϐουλέψουν ὅταν τοὺς ζητοῦν εἰς τὴν αὐλήν.

Ἐὰν γίνεται ὅτι ἕναν ὀρφανόν, οὐ μία ὀρφανή, οὐ κανένα παιδὶν ἀνήλικον, οὐ μία χήρα, κράζει μὲ τὸ ὄνομαν, οὐ πολεμᾷ νὰ τὸν κράζουν δύο κριτάδες τῆς αὐλῆς εἰς τὴν βουλήν της, τὸ δίκαιον ὁρίζει ὅτι ἔνι κρατημένοι νὰ τοὺς δώσουν συνβουλὴν τὴν ὑπερκαλλιώτερην τὴν γινώσκουν μὲ καλὴν πίστιν· καὶ ἂν γίνεται ὅτι ὁ κἄτις ἀπαὶ τοὺς κριτάδες τοὺς κράξουν μὲ τὰ ὀνόματα εἰς τὴν συνϐουλὴν κανενοῦ κορμίου, τουτέστιν κἄτινος ἀπαὶ τοὺς ἄνωθεν ὠνοματισμένους, καὶ νὰ εἶπεν, ἀκούω τῶν πάντων τῶν ἑτέρων κριτῶν, ὅτι οὐδὲν νὰ ὑπάγῃ καθόλου εἰς τὴν βουλήν του | ἐκείνου ὁποῦ τὸν κράζει, τὸ κείμενον ὁ- φ. 27.
ρίζει, πρῶτον ἐκεῖνον τὸν κριτὴν νὰ τὸν διώξου ἀπαὶ τὴν συντροφίαν τῶν ἄλλων κριτάδων, καὶ νὰ χάσῃ εἰς τὸ πραιτώριον

ἀπόκρισι, ἤγουν εἰς τὴν αὐλήν, ὅλας του τὰς ἡμέρας καὶ οὐδέποτε νὰ εἰσακουστῇ τὸ ἔνκλημάν του, οὐδὲ νὰ πιστωθῇ ἡ μαρτυρία του, καὶ κείθεται νὰ δώσῃ τοιοῦτον δικαίωμαν τοῦ αὐθέντη καθὼς πρέπει νὰ δώσῃ ἄνθρωπος ἄπιστος, οὗ παράνομος, ὅτι καλὰ ἔνι μαρτυρημένον πρᾶγμαν ὅτι ἔχει ἐν ἑαυτὸν παρανομίαν, ἐφειδὴν ἦτον κρατημένος νὰ συνβουλέψῃ. Καὶ νὰ γινώσκετε καλὰ ὅτι οὐκ ἔχει τινὰν ἀπαὶ τοὺς δώδεκα κριτάδες ὁποῦ οὐδὲν ἔνι κρατούμενος κατὰ τὴ πίστιν τους νὰ δώσουν παντὸς ἀνθρώπου ὁποῦ νὰ τοὺς κράξουν, κἂν ἂν ἔμελλεν κατὰ τοῦ πατρός του καὶ κατὰ τῆς μητρός του, καὶ τοῦτο ἔνι δίκαιον καὶ κείμενον, καὶ διὰ τοῦτον τοὺς καταστήνουν διὰ νὰ ποίσουν κείμενον καὶ διὰ νὰ ποῦν κειμένη βουλὴν ὅλους ἐκείνους ὁποῦ νὰ τοὺς κράξουν.

ιγ. Τοῦτόν ἐστιν περὶ τῶν ἁγίων θεσπισμάτων· αὐτοῦ διηγεῖται τὴν δικαιοσύνην τῶν δικαιωμάτων τῶν ἐκκλησιῶν, καὶ πῶς κανεὶς ἄνθρωπος κοσμικὸς οὐδὲν ἐντέχεται νὰ ἔχῃ, οὐδὲ νὰ κρατῇ εἰς τὴν ἐξουσίαν του, κατὰ τὸ ἐντεχάμενον, οὐδὲ κατὰ τὴν ἀσίζαν, κατὰ τὸ δικαίωμαν τῶν ρηθέντων ἁγίων ἐκκλησιῶν.

Κατὰ τοὺς ἁγίους κανόνας καὶ μὲ μέγαν στοῦδιν μεγάλην ἐντιμοσύνη, καὶ διὰ καλὰ κουστούμια ἐθέσπισαν ὁμοῦ καὶ ἐσύνταξαν, ὅταν ἡ ἅγιαις ἐκκλησίαις ἀπαὶ τὴν ποία λανβάνομεν τὰ μυστήρια τῆς πίστεως καὶ τὰς ἐργασίας τῶν ἐκκλησιῶν, νὰ ἔνῃ τιμημέναις περὶ πολλῶν βιβιλίων καὶ προβελιτζίων, καὶ νὰ ἔχῃ πολλὰ κέρδη λεγόμενα ἀβαντάτζια, καὶ οὐδὲν ἐντέχεται εἰς καμμίαν ὁπλὴν τὰ καλὰ ἐφφίκιά της παρκατεβασμένα, οὗ ἐστερισμένα ὅ,τι γραμματικὰ λέγεται, κατὰ τοὺς νόμους ἄνωθεν διηγᾶται.

ιδ. Αὐτοῦ δηλοῖ πῶς ἡ αὐλὴ ἡ κοσμικὴ καὶ οἱ κριταὶ ἔνι κρατημένοι εἰς τὴν βοήθειαν τῆς ἁγίας ἐκκλησίας εἰς πᾶσα ἀνκάλεμαν τὸ νὰ ἔχῃ νὰ τὸ τελειόνουν καὶ νὰ τὸ κρίνουν.

Κατὰ τὰ ἅγια ἐθεσπίσματα καὶ ἔντιμα καὶ κατὰ τὰ καλὰ κουστούμια ἐσύνταξαν δίκαιον ὅτι ἡ ἅγιαις ἐκκλησίαις ἀπαὶ τὰς ποίας λαβάνομεν πάντες οἱ χριστιανοὶ τὰ μυστήρια τῆς πίστεως νὰ ἔνῃ καλὰ διατηρημένα, καὶ κρατημέναις στερεωμένα ὅλα τους τὰ | προβελίτζια, ὡς ὅτι ἐκεῖναις καὶ τὰ κείμενά τους φ. 28. καὶ ἡ κράτησές τους νὰ μηδὲ ἔνῃ λεῖψι τίποτες, ὅτι ἐξ αὐτῶν τῶν πραγμάτων της ζιοῦν οἱ μητροπολῖταις καὶ οἱ ἐπίσκοποι καὶ οἱ ἀρχιδιάκονοι καὶ οἰκονόμοι καὶ οἱ διάκονοι, ὁποῦ δουλεύγουν τῆς ἁγίας ἐκκλησίας· λοιπὸν ὅλα ἐκεῖνα τὰ πράγματα ὁποῦ συνμετέχουν εἰς τὴν ἁγίαν ἐκκλησίαν, μὲ μεγάλην ἀγαθοσύνη καὶ μὲ μεγάλην εὐλάβειαν καὶ μὲ μεγάλην ἐλεημοσύνη ἐντέχουνται νὰ ἔχουν τὰ δικαιώματά της, καὶ ἂν ἔχουν κανέναν ἔνκλημαν ἐντέχεται νὰ τελειωθῇ ἔμπροσθεν τοὺς λεγάδες τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, καὶ ὁ ἐμπαλῆς, οὔτε οἱ κριταὶ νὰ τοὺς ἐνοχλήσουν, οὐ νὰ τοὺς ἐξηλώσουν ἀποὺ τίποτες, ἀλλὰ ἔνι νὰ τοὺς δώσουν βοήθειαν εἰς τὴν βουλὴν καὶ εἰς τὰ ἀνκαλέματά τους νὰ τὰ τελειόνουν, ἂν τοὺς ἔχουν χρῆσιν· εἰ δὲ ἂν ἔνῃ τὸ ἔνκλημαν κοινόν, τουτέστιν ἐνκίζει τῆς κοσμικῆς ἐπαρχίας καὶ τῆς πνευματικῆς, ὡς γιὸν εἷς ἀναγνώστης, ἂν ποίσῃ κανέναν παράπτωμαν ἀπαὶ τὸ ποῖον ἐντέχεται νὰ κριθῇ εἰς τὴν κοσμικὴν αὐλήν, οὐ ἂν ἔνῃ κανεὶς κοσμικὸς ποιήσει κανένα παράπτωμαν, οὐ κανένα ἕτερον πρᾶγμαν ὅμοιον τῶν ἄνωθεν, τὸ κείμενον καὶ ἡ ἀσίζα ὁρίζει ὅτι ἡ ἐκκλησία νὰ μηδὲν ἀπονομευτῇ ἀπαὶ τὸ δίκαιόν της, τουτέστιν τοιοῦτον ἔνκλημαν οὐδὲν ἐντέχεται ποτὲ νὰ τελειωθῇ εἰς τὴν κοσμικὴν αὐλήν, χωρὶς νὰ τοὺς δώσουν ἄδειαν οἱ λεγάδες τῆς ἁγίας ἐκκλησίας μὲ τὸ δίκαιόν τους θέλημαν, ἀλλὰ ἔνι κείμενον ὅτι ὁ ἐμπαλῆς καὶ οἱ κριταὶ νὰ ὑπᾶσιν εἰς τὴν ἁγίαν ἐκκλησίαν, κἀκεῖ ἐντέχεται μετὰ τοὺς λογάδες νὰ κριθῇ τὸ ἔκλημαν ἐκείνου τοῦ παραπτώματος, κατὰ τὸ νὰ δοῦν καὶ νὰ ἀκούσουν, ὅτι οὕτως ἐστὶν τὸ κείμενον, ὅτε ὁ Κύριος ὁ

θεὸς ὥρισεν « δότε τὰ τοῦ Καίσαρος τῷ Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ· » λοιπὸν καλὰ ἔνι δίκαιον ὅτι τὸ συμμετέχει τῆς ἁγίας ἐκκλησίας νὰ δοθῆ τῆς ἁγίας ἐκκλησίας, καὶ τὸ ἔνι τοῦ πολιτικῶς κοσμικῆ, νὰ δοθῆ τῆ πολιτικῶς κοσμικῆ, τοῦτο ἔνι δίκαιον κατὰ τὸν νόμον καὶ κατὰ τὴν ἀσίζαν.

ιε. Αὐτοῦ δηλοῖ προτήτερα περὶ τῶν κρισιμάτων, καὶ ποταπὸς ἄνθρωπος ἐνπορεῖ νὰ ἐνκλητεύση εἰς τὴν αὐλὴν ἕτερον ἄνθρωπον, καὶ ποῖον ὄχι. Δηλοῖ λατίνικα κατὰ τοὺς πολιτικούς, καὶ καθαρίζει το, καθὰ κάτω δηλοῖ.

Ὁ υἱὸς τῆς ὑποταγῆς ὁ ἑστὼς ἐν τῆ ἐξουσίαν τοῦ πατρὸς αὐτοῦ, κατὰ τὸν νόμον καὶ κατὰ τὴν ἀσίζαν, ἂν οὐκ ἐστὶν τοῦ νόμου, οὐκ ἠμπορεῖ εἰς τὸ δεμόσιον τὸν πατέραν του, οὗ
φ. 29.| ἕτερον ἐκλητεῦσαι, διότι ἔκλημαν οὐ δύναται ἔνι ἀνάμεσον δύο ἀνθρώπων μὲ δίκαιος, ἐφειδὴν ὁ εἷς ἔνι εἰς τὴν ἐξουσίαν τοῦ πατρὸς αὐτοῦ· ἀμμέ, ἐφειδὴν ὁ υἱὸς τῆς ὑποταγῆς ἔνι νόμου ἡλικίας, τουτέστιν ἔστοντος ιε΄ χρόνων, καλὰ ἠμπορεῖ νὰ ἀνκαλέση εἰς τὴν αὐλὴν πᾶσα ἄνθρωπον, καὶ ὅλον του τὸ δίκαιον νὰ γυρέψη, καὶ νὰ ποίση δίκαιον παντὸς ἀνθρώπου καὶ παντὸς γυναικὸς ὁποῦ νὰ τὸν ἀνκαλέσουν, ὅτι οὕτως ἔνι κείμενον κατὰ τὸν νόμον καὶ κατὰ τὴν ἀσίζαν.

ις. Ὧδε λέγει ποταπὴν τιμωρίαν ἐντέχεται νὰ ἔχη ἐκεῖνον τὸ αἰχμάλωτον ὁποῦ ἀνκαλὲ τὸν ἀφέντην του εἰς ἔνκλημαν.

Ὁμοίως ἐὰν γίνεται ὁ ἀπελεύθερος, τουτέστιν σκλάβος Σαρακηνὸς καὶ ἐβαφτίστη, οὐδὲν ἠμπορεῖ, οὐδὲ ἐντέχεται νὰ ἀνκαλέση τὸν αὐθέντη του, νὰ τὸν ἐνκλητεύση διὰ τὰς ὑποθέσεις τὰς ἄνωθεν λαλημένας τοῦ υἱοῦ τῆς ὑποταγῆς ὁποῦ ἔνι εἰς τὴν ἐξουσίαν τοῦ πατρός του· καὶ ἂν γίνεται ὅτι ὁ ἀπελεύτερος νὰ ἀνκάλεσεν εἰς ἔνκλημαν τὸν ἀφέντην, οὗ τὴν κυράν του, οὗ τὰ παιδιά τους, ἡ αὐλὴ οὐδὲν ἐντέχεται νὰ τοῦ ἀκώσουν, ἀμμὲ νὰ τὸν περιορίσουν ὡς ἐκεῖνον ὁποῦ ἔπεσεν νὰ δώση εἰς τὴν αὐλὴν πεντήκοντα σόρδια ἐκεῖ ὁποῦ ἐποῖκεν τὸ ἔνκλημάν

του, καὶ ἂν οὐκ ἔχῃ ὀτεσαῦτα, ἐντέχεται νὰ κόψουν τὴν γλῶσσάν του· τὸ αὐτὸ ἔνκλημαν λέγουν το κρίμα, ὃ λέγεται παράπτωμαν, διατὶ 'νκαλεῖ τὸν κύριόν του, οὗ τὰ τέκνα τους, καὶ χρὴ γενέσται παρὸν τὴν αὐλή, καὶ τοῦτο ἔνι κατὰ τὸν νόμον καὶ κατὰ τὴν ἀσίζαν.

ιζ. Αὐτοῦ λέγει ποταπὸς ἄνθρωπος ἠμπορεῖ εἰς τὴν αὐλὴν νὰ ἀνκαλέσῃ διὰ ἕτερον.

Πολλοὶ ἄνθρωποι ἔνι ὁποῦ οὐδὲν ἠμποροῦν εἰς τὴν αὐλὴν δι' ἄλλους νὰ ἐνκλητεύσουν, ὥςπερ τὸν υἱὸν τῆς ὑποταγῆς ὁποῦ ἔνι ἀνήλικον, καὶ οἱ κουφοί, τοῦτοι οἱ ἄνθρωποι οὐδὲν ἐμποροῦν νὰ ἀνκαλέσουν εἰς τὴν αὐλὴν μὲ δίκαιον διὰ λόγου τους, οὐδὲ δι' ἄλλους, κατὰ τὸν νόμον καὶ κατὰ τὴν ἀσίζαν.

ιη. Περὶ ἐκείνους ὁποῦ ἐμποροῦν νὰ ἀνκαλέσουν εἰς τὴν αὐλὴν τὴν δεμοσίαν διὰ λόγου τους, ἀμμὲ ὄχι δι' ἄλλους.

Ἕτεροι ἄνθρωποι ἔνι οἵτινες οὐκ ἠνμποροῦ ἐκλητεύσειν εἰς τὴν αὐλὴν τὴν δημοσίαν, οὔτε ἡ αὐλὴ νὰ τοὺς ἀκροθῇ, τούτεστιν διὰ ἕτερον, ἄνευ διὰ λόγου τους μόνον, ὥςπερ | φ. 30. ἄνθρωπος ὁποῦ ἔχασεν τὸ φῶς του, καὶ γεναῖκα ὕπανδρη ἄνευ τοῦ ἀνδρός της, τοσοῦτον ὁρίζει τὸ κείμενον· ἀμμὲ ἡ γεναῖκα ἠμπορεῖ καλὰ νὰ ἐνκλητεύσῃ διὰ τὸν πατέρα της, ἂν ἔνῃ ὅτι ἔνι κακόψυχα, κατὰ τὸ κείμενον καὶ κατὰ τὴν ἀσίζαν.

ιθ. Περὶ ἐκείνους ὁποῦ ἐμποροῦν νὰ ἐνκλητέψουν διὰ λόγου τους καὶ διὰ τὰ παιδιά του;.

Ὁμοίως τοιοῦτα κορμία ἔνι ὁποῦ οὐδὲν ἠμποροῦν νὰ ἐνκλητεύσουν, παροὺ διὰ τὸν ἑαυτόν τους καὶ διὰ κἄνποσα κορμία, ὥςπερ ἔνι ἐκεῖνος καταπλοκισμένος εἰς κλεψίαν, οὗ ἁρπαγήν, οὗ ἐκεῖνος ὁποῦ δὲν δίδει τίποτες ἀπαὶ τὸ ἐδικόν του διὰ νὰ μηδὲν τὸν ἐκλητεύσουν περὶ τῆς κακοεργίας του, καὶ διὰ τοῦτο οὕτως τὸ ἐποῖκεν διὰ τὴν κακήν του συνείδησιν, διότι πρὶν δὲ ἐθέλαν τον τιμωρήσειν, ἂν τὸ εἶχαν πιτύχει εἰς τὸ κάμωμαν· τοιοῦτοι ἄνθρωποι ἠμποροῦν μόνον νὰ ἀνγκαλέσου εἰς τὴν αὐ-

λὴν διὰ τὸν ἑαυτόν τους καὶ διὰ τὰ τέκνα τους, οὐχὶ δὲ περὶ ἕτερον, κατὰ τὸ κείμενον, καὶ κατὰ τὸν νόμον, καὶ κατὰ τὴν ἀσίζαν.

κ. Περὶ τοῦ ἐνπροπέτη τὸν λέγουν ἀβαντπαρλιέρη, πότε χρὴ ἔσται ἀκροούμενος εἰς τὴν αὐλήν, καὶ πότε νὰ μηδὲν τοῦ ἀκούσουν.

Ὁμοίως ἀβοκάτης, τουτέστιν ὁ ἀβὰντ παρλιέρης, ἂν θέλῃ νὰ γίνεται κἄτινος παραστάτης, τουτέστιν προκυρούρης εἰς τὴν αὐλὴν διὰ πρᾶμαν κἄτινος ἀνθρώπου, τὸ δίκαιον ὁρίζει ὅτι πρὶν εἰσακουστῇ, θέλει νὰ ποίσῃ τὴν αὐλὴν θαρρούμενην ὅτι θέλει νὰ συντύχῃ διὰ ὁρισμὸν ὁποῦ ἔνι τὸ ἔνκλημαν, καὶ ἂν οὐδὲν ἔνῃ ἡ αὐλὴ θαρρούμενη, ὅτι ἔνι μὲ τὸν ὁρισμὸν ἐκείνου ὁποῦ ἔνι τὸ ἔκλημαν, οὐδὲν ἐντέχεται ἡ αὐλὴ νὰ τοῦ ἀκροθῇ, κατὰ τὸ κείμενον καὶ κατὰ τὴν ἀσίζαν, οὐδὲ κατὰ τὸν νόμον.

κα. Περὶ τοῦ ἀνηλίκου καὶ περὶ ἐκείνου ὁποῦ ποντίζει τὸ ἐδικόν του, καὶ διὰ ποῖα πράγματα ἠμποροῦν νὰ ἀνκαλέσουν εἰς τὴν αὐλήν, καὶ ποῖα ὄχι, κατὰ τὴν ἀσίζαν.

Ὁμοίως ὁ υἱὸς τῆς ὑποταῆς, ἀνήλικον, οὐ χρὴ γενέσται ἀβὰντ παρλιέρης, τουτέστιν ἀβοκάτος, διατὶ οὐκ εἶν' τοῦ νόμου, καὶ διὰ τῆς ὑποθέσεις τὰς ἄνωθεν λαλημένας, ὅτι ὁ νόμος ὁρίζει, « ὁ ἔχων χρῆσιν βοηθείας καὶ συνβουλῆς ἑτέρου, τουτέστιν ὁ ἀνήλικος, οὐ δύναται συνβουλέψαι, οὐδὲ διαφεντέψαι τὰ
φ. 31. τοῦ ἑτέρου ὑφάσματα εἰς ἔνκλημαν » · ὁμοίως καὶ ἄσωτος|, τουτέστιν ἐκεῖνος ὁποῦ ποντίζει τὸ ἐδικόν του καὶ τὰ πράματά του, πῶς ἔνι δυνατὸν βλεπίσαι ἑτέρου ἀνθρώπου; καὶ ὁ νόμος λέγει « ἄνθρωπος ὁποῦ ποντίζει τὰ πράματά του οὐδὲν ἐντέχεται νὰ ἔνῃ ἑτέρου προστάτης, οὔ προκυρούρης ἑτέρου πραμάτου εἰς τὴν αὐλήν, ἐφειδὴν τὸ ἐδικόν του ἀπαῦτα οὐ δύναται τηρήσει ».

κβ. Αὐτοῦ λέγει περὶ ποίων πραγμάτων δύναται ἐνκλητεῦσαι εἰς τὴν πολιτικὴν αὐλήν, καὶ ποῖα ὄχι.

Ἀπαὶ τὰ πράγματα ἀπὸ ποῖα οἱ ἄνθρωποι ἐμποροῦ νὰ ἐνκλητεύσου εἰς τὴν αὐλή, κατὰ τὸν νόμον καὶ κατὰ τὴν ἀσίζαν, ἐντέχεται νὰ ἔνῃ περὶ ἀργυρίου, οὔ χρυσίου, οὔ ἑτέρου βίου, οὔ ἑτέρων πραγμάτων ὁποῦ νὰ ἔνῃ τοιοῦτα ἀπαὶ τὰ ποῖα δύνουνται γενέσται εἰς βίον, καθάπερ τὰ κινούμενα, καὶ χωράφια καὶ ἐπικωμαῖς, καὶ κρίσαις θανατηφόροι, ὥςπερ φόνον, οὔ κλεψίας, ἁρπαγαίς, οὔ δάνειον, οὔ δόσες, πούλησες, ἀγοράδες, τοιοῦτα πράγματα δύνουνται καλὰ οἱ κριταὶ κρίνειν εἰς τὴν αὐλήν· καὶ ἀκώσατε, τοιαῦτα ἐκλήματα καὶ ἀπαὶ τοιοῦτα πράγματα ἠμποροῦν καὶ δύνουνται καλὰ νὰ ἐνκλητεύσουν εἰς τὴν πολιτικὴν αὐλήν, κατὰ τὸ κείμενον καὶ κατὰ τὴν ἀσίζα.

κγ. Περὶ δὲ ποίων πραγμάτων οὐ δύναται ἐνκλητέψει εἰς τὴν πολιτικὴν αὐλήν, καὶ ἂν ἐκλητέψουν νὰ μὴ τοὺς ἀκούσουν, διὰ τοῦτον τὰ διαφεντεύγει, διατὶ ἔνι ἄδηλα νὰ τὰ παραστήσου ἅπαξ τὰ ἔρισαν καὶ ἐμέτρησάν τα οἱ φιλόσοφοι, καθὼς εὑρίσκεται εἰς τὸ Μαπεμοῦντιν.

Τοιοῦτα πράγματα ἀπαὶ τὰ ποῖα οἱ ἄνθρωποι οὐδὲν ἐντέχουνται νὰ ἀγκαλέσουν εἰς τὴν αὐλήν, καὶ ἂν ἀνκαλέσουν οὐδὲ κἀνόλου νὰ τοὺς ἀκροθοῦν· ἂν ἔνῃ δύο ἄνθρωποι ἀνκαλιοῦν καὶ ἔχουν δυσκεψίαν μέσον τους περὶ τοῦ μεγέθους τοῦ οὐρανοῦ, οὔτε περὶ τοῦ στερεωμάτου, οὔ περὶ τοῦ βάθου τῆς θαλάττης· ἀπὸ δὲ τὰ ἄλλα τὰ ἄνωθεν λαλημένα ἠμποροῦν νὰ τὰ κρίνουν.

κδ. Ἐφειδὴν σᾶς ἐδείξαμεν καὶ ἑρμηνέψαμέν σας ποταποὶ ἐντέχεται νὰ ἔνῃ οἱ κριτάδες, καὶ τὸ ἐντέχεται νὰ ποίσουν, καὶ πῶς νὰ κρατιέται ὁ βισκούντης, καὶ ποταποὶ νὰ ἔνῃ οἱ ἀβάντ παρλιέριδες, καὶ ποταποὶ νὰ ἔνῃ ὁποῦ ἠμποροῦν εἰς τὴν πολιτικὴν αὐλὴν κατὰ πρόσωπα, ἄλλους νὰ ἀνκαλέσουν, καὶ ποταποὶ οὐ δύνουνται, καὶ αὐτοῦ. ἀρχεύομεν νὰ ποῦμεν τὰς κρίσας, καὶ προτήτερα νὰ ἀρχέψωμεν περὶ τοῦ ρηγός.

Καλὰ ἠγνωρίζετε ὅλοι ὁποῦ εἶστε καὶ οἱ ἐρχόμενοι ὅτε, εἴ

τις πρῶτος ἐκλητεύει εἰς τὴν πολιτικὴν αὐλὴν καὶ εἰς τὴν πνευματικήν, προτήτερα ἐντέχεται νὰ ἔχῃ δίκαιον ἀπαὶ εἴ τινα ἀνκαλέσει, κἄν τε ἄνθρωπος, κἄν τε γεναῖκαν.

φ. 32. κε. Περὶ τῆς ἐξου|σίας τὴν ἔχει ὁ ρήγας πρὸς τοὺς ἀνθρώπους του καὶ τὸ τῆντα ἔνι κρατούμενος εἰς τοὺς ἀνθρώπους του, καὶ τῆντα ἔνι κρατούμενοι οἱ ἄνθρωποι πρὸς τὴν ρήγαν καὶ τὸν ὅρκον τοῦ ρηγός.

Ἐὰν γίνεται ὅτι εἷς ἄνθρωπος, οὗ μία γυναῖκα νὰ κριθῇ ἀπ' αὐλῆς, τοιοῦτος, ὡς γιὸν ἔνι καβαλλάρης, ἢ βουργέσης, καὶ ὁ ρήγας, οὗ ἡ ρήγαινα, οὗ ἐκεῖνος ὁποῦ ἔνι κύριος τοῦ τόπου, οὐδὲν θέλει νὰ τὸν ἀφήσῃ νὰ τελειώσῃ τὴν κρίσιν ἐκεῖ ὁποῦ ἐκρίθη, πολεμᾷ ἄδικον καὶ πάγει κατὰ πρόσωπα τοῦ κειμένου καὶ κατὰ πρόσωπα τοῦ θεοῦ καὶ κατὰ πρόσωπα τοῦ ὅρκου του, καὶ ἐκεῖνος ἀπαῦτα ἀδικᾶται, καὶ κατὰ τὸ κείμενον τοῦτον οὐδὲν δύναται, οὐδὲ ἐντέχεται κατὰ τὸ κείμενον, ὅτι ὁ ρήγας ὀμνὲ προτήτερα ἐπάνω εἰς τὰ ἅγια νὰ στερεώσῃ τὰς δόσεις τοὺς προκατόχους του ρηγάδες, ἔπειτα ὀμνὲ νὰ στερεώσῃ τὰ καλὰ συνήθια καὶ τὰ καλὰ κουστούμια τοῦ ρηγάτου, ἔπειτα ὀμνὲ νὰ στερεώσῃ καὶ νὰ βλεπίσῃ εἰς τὸ κείμενον κατὰ πρόσωπα παντὸς ἀνθρώπου κατὰ τὴν ἐξουσίαν του οὕτως τὸν πτωχόν, ὡς τὸν πλούσιον, καὶ τὸν μέγαν, ὡς τὸν μικρόν, ἔπειτα ὀμνὲ νὰ στερεώσῃ τοὺς λίζιούς του κείμενα κατὰ πρόσωπα παντὸς ἀνθρώπου, κατὰ τὴν τάξιν τῆς αὐλῆς του μὲ τοὺς λίζιούς του· καὶ ἂν γίνεται μετὰ ταῦτα εἰς καμμίαν ὀπλὴν ὅτι ὑπάγει κατὰ πρόσωπα τοῦ ὅρκου του, πολεμᾷ ζαβά, προτήτερα ἀρνᾶται τὸν θεόν, καὶ πολεμᾷ ἄδικα κατὰ τοὺς ὅρκους του, καὶ οὐδὲν ἐντέχουνται οἱ ἄνθρωποί του, οὐδὲ ὁ λαός του, ὅτι ὁ ἄρχος καὶ ἡ κυρὰ οὐδὲν ἔνι ἀφέντης, παρὰ ἔνι οἰκονόμος δίκαιος κατὰ τοὺς ἀνθρώπους του νὰ ποιήσῃ τὸν ὁρισμόν του καὶ νὰ περιλάβουν τὰς ρέντας του ἀπού παντὸς καὶ τὰ τέλη του, ἀμμὲ νὰ ἠξεύρῃς καλὰ ὅτι οὐδὲν ἔνι ἀφέντης διὰ νὰ

ποίση ζαβόν, καὶ ἂν τὸ ἐποῖκεν, οὐδὲ νὰ εἶχεν ἀποκάτω του κανένα ἄνθρωπον ὁποῦ νὰ ἐποῖκεν δίκαιον, οὗ νὰ πῆ δίκαια, ἀφειδὴ ὅτι ἐκεῖνος ἀφ' ἑαυτοῦ του ἀδικᾷ τοὺς ὅρκους του διὰ νὰ ποίση ζαβόν.

κϛ. Περὶ πούλησεις καὶ ἀγοραῖς, καὶ ποία πούλησι χρὴ ἔσται στερεωμένη καὶ ποία πούλησι ἔνι ἀστερέωτη καὶ ἄκαιρη, κατὰ τὸ κείμενον καὶ κατὰ τὴν ἀσίζαν.

| Εἰὰν εἷς ἄνθρωπος πουλήση κανέναν τίποτες ἀπὸ τὸν βίον φ. 33. του καὶ λανβάνει ἀρραβῶνας ἀπ' ἐκείνην τὴν πούλησιν ἁπλᾶ, καὶ ἔπειτα ὁ πουλητιὸς μεταγνώθει, ἐντέχεται νὰ διπλάση τὰς ἀρραβῶνας διπλᾶ τοῦ ἀγοραστιῶ, χωρὶς ἂν θελήση νὰ τοῦ ποίση ἄλλον καλόν· καὶ ἂν ἔνη ὅτι ἐκεῖνος ὁποῦ τὸ ἐγόρασεν ἐκεῖνον τὸν βίο, μετανώσει ἀπαὶ κείνη τὴν ἀγορὰ τὴν ἐποῖκεν, ἐντέχεται νὰ χάση τὴν ἀρραβῶνά του, χωρὶς πλεῖον, καὶ μὲ τοῦτον νὰ ἔνη ἀμέριμνος· καὶ ἐὰν ἐκεῖνος οὐδὲν θελήση νὰ στρέψη τὴν ἀρραβῶνάν του μὲ τὸ θέλημάν του, καὶ ἂν οὐδὲν ἔχου ἄλλον στοίχημαν, νὰ τὴν πάρου δυναστικά.

κζ. Περὶ τοῦ πουλητιοῦ καὶ τοῦ ἀγοραστοῦ ὁποῦ λανβάνει ἕνα μέρος πλέρωμαν ἀπ' ἐκεῖνον τὸ ἐπούλησεν ἐκείνου τοῦ ἀγοραστοῦ, ἂν ἦτον παροὺ ἕνα μόνο τραχὶν διὰ ὄνομαν πλερωμάτου.

Ἐὰν (1) ἄνδρες, ὁ πουλητιὸς καὶ ὁ ἀγοραστής, συνπαύουσι μέσον τους νὰ ποίσουν πραγματείαν, καὶ ὁ πουλητιὸς πουλεῖ τὸ ἐδικόν του καὶ ἐπερίλαβεν ἀπαὶ τὸν ἀγοραστὴν ἕνα πρᾶμαν ἀπαὶ τὴν ὑπόθεσι τῆς πούλησης, οὗ ἕνα μόνον τραχὶ διὰ πλέρωμαν, ὁ πουλητιὸς οὐδὲν ἐμπορεῖ νὰ μετανώση ἀπ' ἐκείνην τὴν πραγματείαν τὴν ἐποῖκεν χωρὶς νὰ θελήση ἐκεῖνος ὁποῦ τὸ ἐγόρασεν, ἀμμὲ ἔνι κρατημένος μὲ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν ὁ πουλητιὸς νὰ δώση ἐκεῖνον τὸ πρᾶγμαν τοῦ ἀγορα-

(1) χειρ. αιον.

στιοῦ, καὶ ἐκεῖνος ἔνι κρατημένος νὰ πλερώσῃ τὰ ἐναπομένοντα τῶν καρτεσίων τῆς πούλησης, χωρὶς ἂν εἶχαν ἕτερον στοίχημαν μέσον τους.

κη. Περὶ τοῦ πραγμάτου τὸ ἔνι εἰς τὴν νομήν του ἐκείνου ὁποῦ τὸ ἐγόρασεν καὶ μετὰ ταῦτα θέλει νὰ μετανώσῃ, τῆντα ὁρίζει τὸ δίκαιον.

Ἂν ἔνῃ ὅτι εἷς ἄνθρωπος ἐπούλησεν ἕναν πρᾶμα ἐδικόν του ἑνοῦ ἑτέρου, καὶ ἐκεῖνος ὁποῦ τὸ ἐγόρασε τὸ πρᾶγμα ἔχει το εἰς τὴν νομήν του ἐκείνου τοῦ βίου τὸ ἐγόρασεν, εἶτα γίνεται ὅτι ἐκεῖνος ὁ πουλητιὸς θέλει νὰ μετανώσῃ καὶ νὰ ἀναλάβῃ τὸ ἐδικόν του, τὸ κείμενον καὶ τὸ δίκαιον ὁρίζει ὅτι οὐδὲν ἐμπορεῖ νὰ τοῦ τὸ στερήσῃν ἐκεῖνο τὸ πρᾶγμα ἐκείνου ὁποῦ τὸ ἐγόρασεν καὶ ἀποῦ τὸ ἔχει εἰς τὴν νομήν του ἐκεῖνον τὸ πρᾶγμαν, ἂν οὐ μὴ θέλῃ νὰ τὸ στρέψῃ μὲ τὸ θέλημάν του· καὶ
φ. 34. ἂν ἔνῃ ὅτι ἐκεῖνος ὁ ἄνθρωπος | ὁποῦ ἐγόρασεν τὸν βίον ἐκεῖνον θελήσει μετὰ ταῦτα νὰ μετανώσῃ ἀπ' ἐκείνη τὴν πούλησι τὴν ἐποῖκεν, οὐδὲν ἐμπορεῖ νὰ τὸ ποιήσῃ, ἐὰν ἐκεῖνος οὐδὲν θελήσῃ νὰ τὸ συνκατετέθην, ἀνμὲ ἔνι κρατημένος νὰ τὸ πλερώσῃ ὅσον εἶχεν στοίχημαν διὰ ἐκεῖνον τὸν βίον τὸ εἶχεν εἰς τὴν νομήν του.

κθ. Αὐτοῦ λέγει διὰ ἐκεῖνον τὸν ἄνθρωπον ὁποῦ πουλεῖ τὴν κλήραν του ἑνοῦ ἑτέρου ἀνθρώπου, καὶ ποταπὸν δίκαιον οἱ συνκενάδες του ἐμποροῦν νὰ ἔχουν κατὰ τὸ δίκαιον.

Ἂν ἔνῃ εἷς ἄνθρωπος θέλει νὰ πουλήσῃ τὴν κλήραν του, καὶ γίνεται ὅτι εἷς ἀπαὶ τοὺς συγγενάδες του θέλει νὰ τὴν ἀγοράσῃ καὶ θέλει νὰ τοῦ δώσῃ ὁτεσαῦτα ὥσπερ ἕτερον ἄνθρωπον ξένον, τὸ κείμενον ὁρίζει ὅτι ὁ συγκενὴς ἐντέχεται νὰ λάβῃ ἐκείνην τὴν κλήραν προτήτερα παρὰ ἕναν ἕτερον, καὶ ἔχει τοιούτην ἐξουσίαν ὁ συγκενὴς ἐκείνου ὁποῦ πουλεῖ τὴν κλήραν του νὰ λάβῃ τὴν αὐτὴν κλήραν μὲ προδιάξιμον προτήτερα παρὰ ἕνα γεῖτον, οὗ ἄλλον παρὰ τὸν συνκενή, οὗ τὴν

συγκενάτρια· άμμε ὁ συγκενὴς πρέπει προτήτερα νὰ τὸ λάβουν. παρὰ ἐκεῖνον, οὖ ἐκείνην άποῦ τὸ ἐγόρασεν διὰ ἐπεσαῦτα ὅσα ἔδωκαν μέσα εἰς ζ' ἡμέραις μετὰ ἀφὸν ἡ πούλησι νὰ γένη· ἀμμὲ καλὰ νὰ ἠγνωρίζης ὅτι ἀφὸν ὅτε ἡ ζ' ἡμέραις νὰ διαβοῦν, κανεὶς οὐδὲν ἠμπορεῖ νὰ τὸ στερέση ἀπ' ἐκεῖνον ἀποῦ νὰ τὸ ἀγοράση, κατὰ τὸ κείμενον καὶ κατὰ τὴν ἀσίζαν.

λ. Ὧδε λέγει διὰ ἐκείνου ἀποῦ ἀγοράζει μίαν κληρονομίαν, καὶ νὰ ἐμπορήση νὰ τὸ κρατήση ἕνα χρόνον καὶ μία ἡμέραν, ἄνευ προδιάξιμον, καὶ ποταπὸν δίκαιον ἐντέχεται νὰ πλερώση ἐκεῖνος ὁποῦ ἐπούλησεν τὴν κλῆραν του τοῦ ρηγός, καὶ ποταπὸν δίκηον ἐντέχεται νὰ πλερώση ἐκεῖνος ὁποῦ νὰ τὸ ἀγοράση, κατὰ τὴν ἀσίζαν.

Ἐὰν εἷς ἄνθρωπος ἀγοράση μία κληρονομία ἀποὺ ἕτερον ἄνθρωπον, οὖ ἀποὺ μία γεναῖκα, καὶ γίνεται ὅτι κρατοῦ το ἕνα χρόνον καὶ μίαν ἡμέραν, ἄνευ προδιάζιμο, τὸ κείμενον καὶ ἡ ἀσίζα καὶ τὸ δίκαιον κελεύει τῶν Ἱεροσολύμων, ὅτι ἀπ' ἐκεῖ οὐδὲν ἠμπορεῖ πλεῖον νὰ τὸ χάση διὰ κανέναν ἄνθρωπον, οὖ διὰ καμμία γυναῖκα ὁποῦ νὰ ἔνη τοῦ νόμου· εἰ δὲ ἔχει κανένα ἀνήλικον ἄνθρωπον, οὖ γεναῖκαν ὁποῦ οὐδὲν ἔνι τοῦ νόμου, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος, οὖ ἐκείνη ὁποῦ οὐδὲν ἔνι τοῦ νόμου, οὐδὲν ἐμπορεῖ νὰ χάση τὸ δίκαιόν του διὰ τὴν κράτησιν τοῦ χρόνου καὶ τῆς ἡμέρας ὁποῦ τὸ εἶχεν καὶ ἐπλίκεβεν εἰς τὴν ρηθεῖσαν κληρονομία, οὖ διατὶ ἐδιάβη χρόνος καὶ ἡμέρα καὶ οὐδὲν ἐζήτησεν τὸ ἀνήλικον τὸ δίκαιόν του. Καὶ ἔνι γραμμένον εἰς τὴν Σύνταξιν, ἦεν εἰς τὴν ἀσίζαν ἔνι θεσπισμένον ὅτι ἐκεῖνος ὁποῦ πουλεῖ τὴν κληρονομίαν του, ἂν ἔνη ἡ κληρονομία εἰς | γῆν ρηγάτικην, καὶ στρέφη ἔριτον, ἐντέχεται νὰ πλερώση εἰς τὴν αὐλὴν διὰ τούτην τὴν πούλησιν ἕνα μάρκον ἀσῆμιν, καὶ ἐκεῖνος ὁποῦ τῷ ἀγοράζει τὴν αὐτὴν κλῆραν, ἐντέχεται νὰ πλερώση πέρπυρα γ' ἥμισον διὰ τὴν σαζίναν, τουτέστιν διὰ τὴν νομήν· εἰ δὲ ἡ γῆ, οὖ τὸ σπίτιν ἔνι φ. 35.

ἐλεύθερον, τουτέστιν ὅτι οὐδὲν στρέφει ἔφιτον πούποτε τοῦ ρηγός, ἀμμὲ ἄλλου ὥτινος καὶ ἂν ἔνῃ, τὸ κείμενον ὁρίζει ὅτι οὐδὲν ἐντέχεται νὰ πλερώσῃ διὰ τὴν πούλησι τῆς κλήρας παροὺ πέρπυρα γ' ἥμισον μόνον ὁ ἀγοραστής, ἄνευ ἄλλον τίποτες, καὶ ἐν τούτῳ μένει ἀμέριμνος, τουτέστιν κίτες, κατὰ τὴ ἀσίζαν.

λα. Ὧδε λέγει τὸ δίκαιον ἐκείνου ὁποῦ παίρνει α' σπίτιν ἀμάχι διὰ βίον τὸ ἔδωκεν, καὶ ἂν παίρνῃ ἐνοῖκιν, τίνος ἐντέχεται νὰ ἔνῃ, οὗ ἀπλικέβοντα εἰς τὸ σπίτιν ἐκεῖνος ὁποῦ τὸ κρατεῖ ἀμάχι χρὴ νὰ πλερώσῃ ἐνοῖκι τοῦ οἰκοχυροῦ, οὗ ὄχι.

Ἐὰν εἷς ἄνθρωπος, οὗ μία γυναῖκα λανβάνῃ ἕνα σπίτιν ἀμάχι ἀπαὶ ἕτερον ἄνθρωπον, οὗ ἀποὺ μίαν γυναῖκα, διὰ πέρπυρα κ', οὗ ρ', οὗ διαπλιᾶ, ἕως εἰς ἕνα καιρόν, τὸ λέγεται τάρμε, ὠνοματισμένον ὀνμπρὸς τῆς αὐλῆς, οὗ ἔμπροσθεν τοῦ βισκούντη καὶ δύο κριτάδων, καὶ αὐτὸς ἔνι μέσον εἰς τὴν οἰκίαν, τὸ κρατεῖ ἀπ' ἐκεῖνον ὁποῦ τὸ ἐδάνεισεν τὰ πέρπυρα εἰς ἕνα τραχὶ ἐνοῖκιν ἕως τὸν καιρόν, καὶ μετὰ ταῦτα ὅταν ἔλθῃ τὸ τάρμε οὐδὲν θέλει νὰ τὸν πλερώσῃ, οὗ οὐδὲν ἔχει ἀπόθεν, ἐκεῖνος ὁποῦ ἐδάνεισεν τὰ καρτζά, ἐντέχεται νὰ ἔλθῃ εἰς τὴν αὐλὴν καὶ νὰ τὸ πῇ τοῦ βισκούντη καὶ τοὺς κριτάδες, καὶ ὁ βισκούντης καὶ οἱ κρίταδες ἔνι κρατούμενοι νὰ ὁρίσουν μὲ τὸ κείμενον τὸν διαλαλητὴν τοῦ αὐθέντη νὰ τὰ διαλαλήσῃ εἰς τὴν χώρα δύο ἡμέραις ἐκείνη τὴν οἰκίαν εἰς τὴν ποίαν ἔνι τὸ χρεῖος, καὶ τότες ἐντέχεται νὰ τὸ διαλαλήσῃ τὴν τρίτην φορὰ ὁ διαλαλητὴς εἰς τὴν αὐλὴ ὅταν κάθουνται, καὶ ὁποῦ πλεῖον δώσει θέλει τὸ λάβειν, ἐὰν ἐκεῖνος οὐδὲν τὸ ἀποσπάσῃ ὁποῦ τὸ ἔβαλεν ἀμάχι· καὶ ἂν ἔνῃ ὅτι ἐκεῖνον τὸ σπίτιν οὐδὲν ἐπουλήθη διὰ ἐπεσαῦτα εἰς ὅσα ἔνι τὸ χρεῖος, ἐκεῖνος, οὗ ἐκείνη ὁποῦ τὰ ἔβαλε ἀμάχι ἀπάνω εἰς ὅλα του τὰ καλά, νὰ πλερώσῃ τὰ δέλοιπα μὲ τὸ δίκαιον· καὶ ἐὰν τὸ σπίτιν πουληθῇ διὰ περίττου παρὰ ὅσα ἔνι τὸ χρεῖος, ἡ αὐλὴ ἔνι κρατημένη

νὰ περιλάβῃ τὰ περίττου, καὶ νὰ τὰ στρέψῃ ἐκείνου, οὗ ἐκείνης ὁποῦ ἦσαν τὰ σπίτια, οὗ ἐκείνη ἡ γῆ, οὗ ἐκεῖνον τὸ χωράφιν· ἀμμὲ ἂν ἕνῃ ὅτι ἐκεῖνος ὅπου εἶχεν τὸ σπίτιν ἀμάχι ἐνοικίασεν τὸ σπίτιν, οὗ ἔλαβεν ἐνοῖκιν, νὰ ψηφιστῇ ἐπάνω εἰς τὸ χρεῖος τὸ χρωστεῖ τὸ σπίτιν, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν· καὶ ἐὰν ἦτον ἀπλικεμένος μέσα εἰς τὸ σπίτιν, ἐντέχεται νὰ ψηφιστῇ τὸ ἐξίαζεν τὸ ἐνοῖκιν τοῦ ἐσπιτίου ἐτε|ταῦτα φ. 36.
ὅσα νὰ ἔδωκαν ἄλλοι λᾶς νὰ ἔδωκε ἐνοῖκιν εἰς τὸ αὐτὸ χρεῖος.

λβ. Ὧδε λαλεῖ τὸ δίκαιον ἐκείνου ὁποῦ πουλεῖ ἕνα κτηνὸν ρηστίβικον, καὶ περὶ αὐτοῦ ὁποῦ τὸ ἀγοράζει τὸ αὐτὸ κτηνὸ τὸ ρηστίβικον, ἤγουν τὸ ἀνυπόταχτον.

Ἐὰν γίνεται ὅτι εἷς ἄνθρωπος ἀγοράσει ἀποὺ ἕτερον ἄλλον ἄνθρωπον κτηνὸν ἀνυπόταχτον, τουτέστιν ρηστίβικον, καὶ ἐκεῖνος ὁποῦ τὸ ἐγόρασεν ἐκράτησεν χρόνον καὶ μίαν ἡμέρα εἰς τὸ σπίτιν του, οὐδὲν ἐμπορεῖ πλεῖον νὰ τὸ στρέψῃ ἐκείνου ὁποῦ τοῦ τὸ ἐπούλησεν, ἐὰν ἕνῃ ὅτι ἐκεῖνος ὁποῦ τὸ ἐπούλησεν οὐδὲν θέλει, ἐφειδὴν τὸ ἐκράτησε ἕνα χρόνον καὶ μία ἡμέρα· ἀνμὲ ἂν ἕνῃ ὅτι ἐκεῖνος ὁποῦ ἐγόρασεν τὸ κτηνὸν ἐζήτησεν ἐκείνου ὁποῦ τοῦ τὸ ἐπούλησεν μέσα εἰς τὸν χρόνον καὶ εἰς τὴν ἡμέρα ἀφότις τὸ ἐγόρασεν, καὶ εἶπέν του ἵνα ἀναλάβῃ τὸ κτηνόν του ὁποῦ ἦτον ρηστίβικον καὶ νὰ τοῦ στρέψῃ τὰ νομίσματά του, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος ἔνι κρατούμενος νὰ ἀναλάβῃ τὸ κτηνόν του μὲ δίκαιον, καὶ νὰ τοῦ στρέψῃ τὰ πέρπυρά του μὲ τοιοῦτον, ὅτι νὰ ὀμόσῃ ἐπάνω εἰς τὰ ἅγια ὅτι ἐκεῖνον τὸ κτηνὸν οὐδὲν ἔμαθεν ρηστιβίασμαν μετά του, ἀφὸν τὸ ἐπῆρεν ἔσω του, ἀφὸν τὸ ἐγόρασεν, καὶ μετὰ τοῦτο νὰ μένῃ ἀμέριμνος μὲ τὸ δίκαιον καὶ μὲ τὴν ἀσίζαν.

λγ. Αὐτοῦ λέγει τὸ δίκαιον διὰ ἐκεῖνον ὅπου πουλεῖ, οὗ ἀγοράζει ἕνα σκλάβον, οὗ μίαν σκλάβαν ἀποῦ πέπτει ἀποὺ κακὴ (1) ἀρρώστιαν.

(1) χειρ. κικι.

Ἐὰν γίνεται ὅτι εἷς ἄνθρωπος, οὗ μία γυναῖκα πουλήσει ἑτέρου ἀνθρώπου, οὗ ἕτερης ἄλλης γυναίκας ἕνα σκλάβον, οὗ μία σκλάβα, καὶ γίνεται μετὰ ταῦτα ὅτι ὁ σκλάβος, οὗ ἡ σκλάβα πέφτει, τουτέστιν ἀλανπάζει μέσα εἰς τὸ χρόνον καὶ εἰς τὴν ἡμέραν ἀφὸν ἐπουλήθη, ἐκεῖνος, οὗ ἐκείνη ὁποῦ τὴν ἐγόρασαν ἠμπορεῖ καλὰ νὰ τὴν στρέψῃ ἐκείνου ὁποῦ τὴν ἐπούλησεν μέσα εἰς τὸν χρόνον καὶ εἰς τὴν ἡμέραν, καὶ ἐκεῖνος ἔνι κρατούμενος μὲ δίκαιον νὰ τὴν περιλάβῃ καὶ νὰ τοῦ στρέψῃ ἐκεῖνο τὸ ἐπῆρεν· ἀμμὲ ἀφὸν ὁ χρόνος καὶ ἡμέρα διαβῇ, ἐκεῖνος ὁποῦ ἐγόρασεν τὸν σκλάβον, οὗ τὴν σκλάβαν, οὐδὲν ἠμπορεῖ πλεῖον μετὰ ταῦτα νὰ τὴν στρέψῃ ἐκείνου ὁποῦ τὸν ἐπούλησεν, κατὰ τὸ κείμενον καὶ κατὰ τὴν ἀσίζαν τοῦ ρηγάτου τῶν Ἱεροσολύμων.

λδ. Αὐτοῦ λέγει διὰ ἐκείνου ὁποῦ ἐγόρασεν σκλάβον, οὗ σκλάβαν κελεφή, καὶ διὰ ἐκεῖνον ὁποῦ τὸν ἐπούλησεν, ποταπὸν δίκαιον ἐντέχεται νὰ γίνεται κατὰ τὴν ἀσίζαν.

Κἀπόσαις φοραῖς γίνεται ὅτι εἷς ἄνθρωπος, ὦ μία γυναῖκα ἀγοράζει ἀπαὶ ἕτερον ἄνθρωπον, οὗ ἀπαὶ ἕτερην γυναῖκα, καὶ ὁ σκλάβος, οὗ ἡ σκλάβα γίνεται κελεφὴ μέσον τοῦ χρόνου καὶ τῆς ἡμέρας ἀφὸν τὸν ἀγόρασεν . . . . (1).

φ. 37. | . . . . . [ἐκεί]νης τῆς γυναίκας ὅπου ἀγοράσει πρᾶμαν τῆς ἐκκλησίας.

Ἐὰν γίνεται ὅτι εἷς ἄνθρωπος κοσμικός, οὗ μία γυναῖκα εἰδῇ ὅτι ἀγοράζει παρὰ κἄτινος ἀνθρώπου, οὗ ἀποὺ καμμίας γυναίκας κανένα πρᾶγμαν τῆς ἐκκλησίας ἀφιερολογημένον, οὗ μονῆς, ὥσπερ ποτήριον, οὗ σταυρόν, μαντήλια, φελόνιαν, οὗ στιχάρια, οὗ ἕτερα φορέματα ἀφιερολογημένα, ὁ νόμος ὁρίζει

(1) Ἀποκοπέντος ἑνὸς φύλλου, λείπουσι τὸ τέλος τοῦ λδ', ὁλόκληρα δὲ τὰ λε' καὶ λς' κεφάλαια, ὡς καὶ ἡ ἀρχὴ τοῦ τίτλου τοῦ ἑπομένου κεφαλαίου.

καὶ ἡ ἀσίζα ὅτι ὅλον προτήτερα ἐντέχεται τὰ τοιαῦτα πράγματα νὰ στραφοῦν εἰς τὴν ἁγίαν ἐκκλησίαν, καὶ πάντα ὅσα ἔδωκεν ὁ ἀγοραστὴς νὰ τὰ χάσῃ, διατὶ κάθα χριστιανὸς ὁποῦ ἔχει πίστιν εἰς τὸν θεὸν οὐδὲν ἐντέχεται νὰ ἔχουν εἰς τὴν δεσποτείαν τους, οὐδὲ εἰς τὴν ἐμπαλίαν τους, οὐδὲ εἰς τὸν [οἶκόν] τους πράγματα ἀφιερολογημένα.

λη. Αὐτοῦ λέγει τὸ δίκαιον ἐκείνου ὁποῦ πουλεῖ ἕνα ἄλογον ἑτέρου ἄλλου ἀνθρώπου εἰς καιρὸν νοματισμένον, καὶ ἐκεῖνος οὐδὲν ἔχει νὰ πλερώσῃ τὸ ἄλογον, τῆντα δύναται γενέσται παρὰ τῆς αὐλῆς εἰς τὸν χρειωφελέτην κατὰ τὴν ἀσίζαν τῆς χώρας.

Ἐὰν γίνεται ὅτι εἷς ἄνθρωπος πουλεῖ ἕνα ἄλογον ἑτέρου ἀνθρώπου ἕως καιρὸν νοματισμένον, καὶ μετὰ τὸ ἐλθεῖν ὁ καιρὸς καὶ διαβῇ, καὶ ὁ πουλητὴς ἔρχεται εἰς ἐκεῖνον καὶ ζητᾷ του νὰ τοῦ στρέψῃ τὰ νομίσματά του, καὶ ὁ χρειωφελέτης ἀπολογᾶται ὅτι οὐδὲν ἔχει ἀπόθεν νὰ τὸν πλερώσῃ, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος νὰ ὀμόσῃ ἐπάνω εἰς τὰ ἅγια, ὅτι οὐδὲν ἔχει ἄνω τῆς γῆς, οὐδὲ κάτω τῆς γῆς ἀπόθεν νὰ ἐμπορήσῃ νὰ τὸν πλερώσῃ ἐκεῖνον τὸ τοῦ χρεωστεῖ· καὶ ἀφὸν οὕτως νὰ ὀμόσῃ, ἡ αὐλὴ ἐντέχεται νὰ τοῦ τὸν παραδώσῃ ἐκείνου ὁποῦ τοῦ ἐπούλησεν τὸ ἄλογον, καὶ ἐκεῖνος πρέπει νὰ τὸν ἔχῃ εἰς τὴν φυλακήν του, ὡς χριστιανὸν ἀγιὰ ψουμὶν καὶ νερόν, ἂν ἔνῃ ὅτι πλεῖον οὐδὲν θελήσει νὰ τοῦ δώσῃ νὰ τρώγῃ, καὶ ἂν ξοδιάζῃ τίποτες διὰ λόγου του, ἐντέχεται νὰ τὰ ψηφᾷ ἐπάνω εἰς τὸ χρεῖός του, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν τῆς χώρας.

λθ. Αὐτοῦ λέγει τὸ δίκαιον διὰ ἐκεῖνον ὁποῦ δανείζει τὸ ἄλογόν του, οὗ τὴν μούλαν του ἐκείνου ὁποῦ ἔνι ἐνκυτής, οὗ ἑτέρου χρειωφελέτη, πῶς ἐμπορεῖ νὰ τὸ πάρῃ μὲ δίκαιον τὸ χτηνόν.

Καλὰ νὰ ἠξεύρῃς ὅτι ἂν εἷς ἄνθρωπος δανείζῃ ἕνα του ὑποζύγιον ἑτέρου ἀνθρώπου, καὶ ἐκεῖνος | ὁποῦ τοῦ τὸ ἐδάνεισεν φ. 38.

λαλεῖ του, « αὔριον νὰ σοῦ τὸ στρέψω τὸ ἄλογόν σου »· καὶ ἐσοὺ ἀφήνεις τον καὶ σύρνει τὸ ὑποζύγιόν σου, καὶ ἐκεῖνος ἔνι τοιοῦτος ἄνθρωπος ὁποῦ ἔνι χρειωφελέτης, οὐ ἐνκυτὴς κἄτινος ἄλλου ἀνθρώπου, ἐκεῖνος ὁ ἄνθρωπος, εἰς τὸ ὁποῖον ἔνι ἐνκυτής, οὐ χρειωφελέτης, ἠνμπορεῖ καλὰ νὰ σοῦ στερήσῃ τὸ ὑποζύγιόν σου καὶ νὰ πλερωθῇ, μὲ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν τῆς χώρας.

μ. Αὐτοῦ λέγει τὸ δίκαιον περὶ ἐκείνους τοὺς μεταπράτας ὁποῦ δείχνουν καλὴν μούστραν ἐκείνου τὸ θέλουν νὰ πουλοῦν, καὶ ἔπειτα δίδουν ἄλλον παρὰ τὸ ἐδείξασι.

Ἐὰν εἷς ἄνθρωπος τοιοῦτος, ὃς γιὸν νὰ ἔνῃ, κἄτε πραματευτής, οὐ ἕτερος, ἔρχεται εἰς ἕναν μεταπουλητιὸν σίτου διὰ ν' ἀγοράσῃ, καὶ ἐκεῖνος ὁποῦ πουλεῖ τὸ σιτάριν, δείχνει του ἀπαὶ τὸ σιτάριν, οὐ ἑτέρου πραμάτου, καὶ λέγει του « νὰ σοῦ πουλήσω τοιοῦτον σιτάριν, οὐ τοιοῦτον πρᾶμα, καὶ τοιοῦτον καλὸν ὥςπερ τοῦτον », ἐπάνω εἰς τοῦτον ὁ ἀγοραστὴς δίδει του ἀρραβῶνα διὰ ἐκεῖνον τὸ σιτάριν ὁποῦ τοῦ ἔδειξεν, μετὰ ταῦτα δὲν θέλει νὰ τοῦ δώσῃ τοιοῦτον σιτάριν κατὰ ἐκεῖνον ὁποῦ τοῦ ἔδειξεν, ἀμμὲ ἀπ' ἄλλον, τὸ δίκαιον ὁρίζει μὲ τὸ κείμενον, ὅτι ὁ πουλητιὸς ἔνι κρατούμενος νὰ δώσῃ τοιοῦτον σιτάριν, οὐ τοιοῦτον πρᾶγμα, ὡς γιὸν τοῦ ἔδειξεν καὶ ἐστοιχημάτισεν, οὐ τοιούτης καλοσύνης, καθάπερ ἐκεῖνον τὸ σιτάριν τὸ τοῦ ἔδειξεν, ὅτι πάντες οἱ ἄνθρωποι ἔνι κρατημένοι νὰ τελειώσουν ἐκεῖνον τὸ ἔχουν στοίχημαν, ἐφειδὴν τὸ στοίχημαν ἔνι ἐναντίον τοῦ νόμου καὶ ἐναντίον τῆς ἀσίζας· καὶ ἐὰν ὁ πουλητιὸς οὐδὲν θέλῃ νὰ τοῦ δώσῃ ἐκεῖνον τὸ ἔχουν στοίχημαν, ἐντέχεται νὰ τοῦ διπλάσῃ τὴν ἀρραβῶνάν του, μὲ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν.

μα. Ἐφειδὴν ἠκούσαμεν τῶν ἄλλων δικαιωμάτων, κείμενον ἔνι νὰ ἀκούσετε τὰ δικαιώματα τῶν δανεισμάτων τῶν πραγμάτων ὁποῦ ὑπᾶσιν ἐπάνω εἰς τὴν θάλασσαν διὰ νὰ κερδαίσου-

Τουτέστιν ἀφὸν εἶπεν τὰ τοῦ νόμου λατίνικα ἑρμήνεψέν το τοιοῦτον πραγματείαν καλῆς πίστης, τουτέστιν ἀπαὶ τὰ δανεικὰ ἐντέχεται τώρα νὰ ποῦμεν, ἀμμὲ ὅλο προτήτερα ἐντέχεται νὰ δοῦμεν ποταπὸν πρᾶγμα ἔνι τὸ δανεικόν. Δανεικὸν ἔνι ἕνα πρᾶγμα δομένον διὰ τὸ διάφορος ἐκείνου ὁποῦ συνειθίζει, τουτέστιν μεγάλην ἐν εὐκολίᾳ ἐντέχεται νὰ ἔνῃ ζητημένη τὸ δάνειον ἀπαὶ τὸν δανειστιόν, ὅτι ἔνι κρατημένος | πᾶσαν φ. 39. μπαρατουρίαν καὶ πᾶσα ἀνομίαν, εἰ δὲ ἀποὺ ἀφορμὰς τοῦ ριζικοῦ, οὐδὲν ἔνι ἐκεῖνος κρατούμενος, ἐὰν ἔνῃ ὅτι τὸ πταῖσμαν οὐδὲν ἔνι φανερὸν πούποτε.

μβ. Αὐτοῦ ἐξηγεῖται εἰς ποῖον τόπον ἐθέσπισαν ὁ ρήγας ὁ Ἀμαρὴν ποῦ νὰ γίνουνται ἡ κρίσες τοὺς θαλασσομάχους καὶ τῶν ναβῶν καὶ τῶν καραβίων.

Καλὰ νὰ ἠγνωρίζῃς ὅτι ἐκεῖνοι οἱ ἄνθρωποι ὁποῦ πᾶν τῆς θαλάσσου, ἐὰν γίνεται ὅτι ἔχουν καμμίαν δυσκεψίαν μὲ τοὺς ναύταις τους ἀπὸ ρίψιμον κακοῦ καιροῦ, οὗ δι' ἄλλον τίποτες πρᾶγμά τους τὸ ρίψουν ἀπαὶ τὸ καράβιν, τὸ δίκαιον ὁρίζει ὅτι ἄντα νὰ κριθοῦν μὲ τὴν αὐλὴν τῆς θαλάσσου, διότι εἰς τὴν αὐλὴν τῆς θαλάσσου οὐκ ἔχει ποτὲ πόλεμον διὰ ἔνδειξιν, οὗ παράστημαν, οὐδὲ διὰ ζήτημαν ἐκείνου τοῦ ταξειδίου, ἀμμὲ εἰς τὰς αὐλὰς τῶν βουργέσιδων ἐντέχεται ἕνα ἔχῃ εἰς τὰς παραστάσεις πολέμους, ἐὰν τὸ ζήτημαν ἀναβιβάζεται ἀνώτερα ἑνοῦ μάρκου ἀσῆμιν, καὶ διὰ τοῦτον ἔνι αὐτὰ τὰ δικαιώματα θεσπισμένα εἰς τὴν αὐλὴν τῆς ἀλύσεως, ἄνευ κλέπτην, οὗ φονίαν, οὗ παραβουλίαν, ὅτι ταῦτα πάντα ἐντέχουνται νὰ ἔλθουν εἰς τὴν ἄλλην αὐλήν, ἄνευ ἂν εἶχαν ἀναμεταξύ, ὅτι λέγει ὁ νόμος, πάντα τὰ στοιχήματα ὁποῦ ὅκε ἐναντιοῦνται τοῦ νόμου, πρέπει καὶ ἐντέχεται νὰ ἔνῃ στερεωμένα καὶ κρατημένα.

μγ. Ὧδε λαλεῖ διὰ τὸ δίκαιον ἐκείνου τοῦ ἀνθρώπου ὁποῦ δίδει τὸν βίον του νὰ τὸν πάρουν εἰς ἕναν ἄλλον τόπον ὠνοματισμένον, καὶ ἐκεῖνος παίρνει το εἰς ἄλλον τόπον, καὶ κερ-

δαίνει ἐκεῖνος ὁποῦ τὸ παίρνει εἰς ἄλλον μέρος ὁποῦ οὐδὲν ἦτον συνπαμένον, οὐδὲ στοιχηματισμένο.

Ἐὰν εἷς ἄνθρωπος δώσῃ ἑνοῦ ἑτέρου ἀνθρώπου κε´ πέρπυρα, οὗ ρ´, νὰ τὰ πάρῃ ἐπάνω τῆς θαλάσσου, ὥςπερ νὰ ποῦμεν ὡς τὴν Κύπρον, καὶ πολεμᾷ του στοίχημαν νὰ τοῦ δώσῃ ἀπαὶ τὸ κέρδος τὸ μερτικόν του, καὶ γίνεται ὅτι ἐκεῖνος ὁποῦ λανθάνει τὸν βίον ποιεῖ ἕτερον ταξεῖδιν, τουτέστιν ὑπάγει εἰς ἄλλον μέρος παρὰ ἐκεῖ ἀποῦ ἦτον στοιχηματισμένος, καὶ γίνεται ὅτι ἐκεῖνο τὸ πλοῖον τσακίζεται, οὗ χάνει τὰ πέρπυρα, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος ἔνι κρατημένος νὰ καλλιωτερίσῃ αὐτὰ τὰ πέρπυρα, διότι ἐπῆγεν αὐτουθεληματου ἐκεῖ ἀποῦ οὐδὲν ἦτον στοιχηματισμένος νὰ πάγῃ, καὶ ἂν ἐγένετο ὅτι ἐκέρδαισεν εἰς ἐκεῖνο τὸ ταξεῖδιν, χρὴ λαβεῖν τὸ μερτικόν του ὁ κῦρις τοῦ βίου, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν.

μδ. Ὧδε λέγει τὸ δίκαιον τῆντα ἐντέχεται νὰ γένῃ ἀπ᾽ ἐ-
φ. 40. κεῖνον τὸ πρᾶγμαν τὸ ρίπτουσιν εἰς τὴν θάλασσαν διὰ δυνατὸν καιρὸν διὰ νὰ ἀλαφρύνῃ τὸ καράβι, οὗ τὸ πλοῖον.

Ἐὰν γίνεται ὅτι ἕνα καράβιν ἔχει κακὸν καιρόν, καὶ ἐκεῖνοι ρίπτουν ἀπαὶ τὰς πραματείαις τους, οὗ ἀπαὶ τὰ ροῦχά τους, οὗ ἀπαὶ τὸν βίον τους, διὰ νὰ ἀλαφρύνῃ τὸ καράβι, οὗ διὰ νὰ γλυτώσουν τὴν ζωήν τους, τὸ δίκαιον ὁρίζει ὅτι παρευτὺς ὅτι νὰ ἔλθουν εἰς τὸν λιμέναν τῆς σωτηρίας, ὅλο προτήτερα ἐκεῖνον τὸ χρήζει τὸ καράβιν, οὗ τὸ πλοῖον, μὲ ὅλην του τὴν ἄφεσιν, καὶ τἄπισα τὸ τῆντα ἔμενεν μέσα εἰς τὸ καράβι, ἄνευ τὰ ροῦ τὰ οἱ λᾶς νὰ ἔχουσιν ἀπάνω τους φορεμένα, εἰ δὲ ἔχουν ἐπάνω τους μπούκλας χρουσᾶς, οὗ ζωνάρια ἀργυρᾶ, καὶ ταῦτα πάντα ἐντέχεται νὰ ψηφιστοῦν εἰς διατίμησι περπύρων μὲ ἐκεῖνα τὰ ἐναπομένοντα· καὶ γίνωσκε ὅτι ἐκεῖνος ὁ βίος ὁποῦ ἐρρίφθη οὐδὲν πρέπει νὰ διατιμηθῇ παρὰ μόνον ὅσον ἐκούστεψεν μὲ τὰ δικαιώματά του· ὁμοίως ἐκεῖνος ὁ βίος ἀπαῦτα τὸ ἐναπόμεινεν ἐντέχεται νὰ ψηφιστῇ ὅσον ἐκούστεψεν, ὅτι

ἂν ἐψηφίστην εἰς ὅσον ἐμπορεῖ νὰ φθάσῃ? εἰς τὴν γῆν ὁποῦ νὰ ἦρταν, τοῦτον ἤθελεν εἶστεν ἄδικον, διότι ἔνι εὐκολίαν ἤθελεν ἔχει τοιοῦτον βίον ὁποῦ ἤθελεν εἶστεν τότες καλῆς πούλησης, καὶ τοιοῦτον ὄχι· ὡς γίον ἂν ἐγόρασαν α' βίον διὰ κε' πέρπυρα, καὶ ἠμπορῶ νὰ πάρω πέρπυρα ν', καὶ ὁ ἄλλος ὁποῦ ἀγόρασεν βίον διὰ πέρπυρα ρ', καὶ οὐδὲν ἐμπορεῖ νὰ πάρῃ τώρα παροὺ πέρπυρα λ', καὶ ὅταν ἔλθουν εἰς τὸ ψῆφος τοῦ χασιμίου διὰ νὰ δώσουν τοῦ καθενοῦ τὸ μερτικόν του, ἤθελαν ἔχει οἱ μὲν διάφορος διὰ τὸν βίον τους ὁποῦ ἤθελεν εἶστεν καλῆς πούλησης εἰς τὴν γῆν, οἱ δὲ ἤθελαν ἔχει ὅλην τὴν ζημίαν τοῦ ριψιμάτου, τὸ ποῖον ἤθελεν εἶστεν ἄδικον· καὶ διὰ τοῦτο ὁρίζει εἰς τὸν νόμον καὶ εἰς τὴν ἀσίζαν ὅτε τὸ ριμμένον καὶ τὸ ἐναπομένοντα οὐδὲν ἐντέχεται νὰ ψηφιστῇ παροὺ ἐτεσαῦτα μόνον ὅσα ἐκούστεψεν· καὶ ἀφὸν τὰ διατιμήσουν οὕτους τὸ ριμμένον καὶ τὸ ἐναπομένοντα, κατὰ τὸ πεῖν τοὺς πραγματευτάδες καὶ τοῦ ναυκλέρου καὶ τοὺς ναύτας, ὁρίζει ὁ νόμος καὶ ἡ ἀσίζα, ὅτι οἱ κριτάδες τῆς τζαϊάνας, τουτέστιν τῆς ἀλύσεως, ἐντέχεται νὰ κρίνουν ὅτι τὸ χασιμιὸν ἐντέχεται νὰ ψηφιστῇ κατὰ τὰς ἑκατοντάδας τῶν περπύρων, τουτέστιν εἰς κάθα ρ' πέρπυρα ἔρχεται ζημία, τόση ζημία ἀπ' ἐκεῖνο τὸ ριψιμιόν, καὶ ἂν ἔνῃ ὅτι ὁ κῦρις τοῦ καραβίου, οὗ ἕτερος ἄλλος οὐδὲν πιστεύει ὅτι ἐτεσαῦτα ἐρρίψαν, ἡ αὐλὴ ἐντέχεται νὰ φέρῃ ὀνμπρός της τὸν ναύκλερον καὶ πολλοὺς ἀπαὶ τοὺς ναύτας, ἀποῦ ἔχουν ἀγνωριμίδα διὰ καλλιώτερους, καὶ νὰ | τοὺς φ. 41. βάλλουν νὰ ὀμόσουν ἐπάνω εἰς τὰ ἅγια νὰ ποῦν ἀλήθειαν, καὶ μετὰ ταῦτα, κατὰ τὸ πεῖν τους, ἐντέχεται ὁ καθὲς νὰ ἔχῃ τὸ μερτικόν του ἀπαὶ τὸ χασιμιόν, ὅτι τοῦτον ἔνι δίκαιον καὶ κείμενον κατὰ τὴν ἀσίζαν τῆς γῆς τοῦ ρηγάτου τῶν Ἱεροσολύμων.

με. Ὧδε νὰ ἀκούσετε τὸ δίκαιον τῶν ναυτῶν ὁποῦ ἔνι συμπαμένοι νὰ ποιήσουν ἕνα ταξεῖδιν, καὶ ἀφὸν πάρουν τὰ ἀρραβῶνας μεταγνώνουν.

Ἐὰν γίνεται ὅτι ναῦταις συμπαύουν μὲ τὸν καραβοκύρη νὰ ποίσουν ἕνα ταξεῖδιν καὶ λαβάνουν τὸ ἥμισον τῶν καρτζῶν τῶν ἔνι συμπαμένων, καὶ τότες γίνεται ὅτι οἱ ναῦταις μεταγνώθουν, τὸ δίκαιον ὁρίζει ὅτι ἐντέχεται νὰ καλλιωτερίσου τὰ καρτζά του τοῦ καραβοκυροῦ εἰς διπλᾶ, καὶ ἂν ἐποίησαν καμμίαν δουλίαν εἰς τὸ καράβιν, ὡς γιὸν ἂν ἐποῖκαν βίγλαν, οὗ ἂν ἐφόρτωσαν, οὐδὲν ἐντέχεται νὰ τοὺς δώσουν τίποτες, διατὶ ἔλειψαν ἀπαὶ τὸ στοίχημαν τὸ ἐποῖκαν· καὶ ἐὰν οἱ ναῦταις λείψουν εἰς τοιούτην ὥρα τοῦ καραβοκυροῦ, ὅταν ἐντέχουνται νὰ κινήσου, καὶ διὰ τὴν βίαν τῆς κίνησης ὁ καραβοκύρης μισταρόνει ἄλλους ναύτας ἀκριβώτερα, οὗ ἂν τοῦ γίνεται ἕτερη ἄλλη ζημία, τὸ δίκαιον ὁρίζει ὅτι ὅλη ἐκείνη ἡ ζημία τὴν λάβει ὁ καραβοκύρης διὰ λόγου τους, οὗ τὴν ζημία τὴν ἔχει νὰ μισταρώσῃ ἀκριβώτερα ἄλλους ναύτας, ὅτι ὅλα ἔνι κρατούμενοι νὰ τὰ ἱκανώσου μὲ δίκαιον· ὁμοίως τοιοῦτον καὶ ὁ καραβοκύρης, ἂν εἶχεν κρατήσει ναύτας διὰ νὰ ταξειδέψῃ, καὶ ὕστερα μετανώσει, πάντα ὅσα ἔδωκε τοὺς ναύτας νὰ [ἔνῃ] ἐδικόν τους, μὲ δίκαιον· καὶ νὰ ἀλλάξῃ ἄλλην στράταν παρὰ ἐκείνη τὴν ἐσύνπαψεν, οὗ πλεῖο μακρά, οὗ πλεῖον κοντά, οἱ ναῦταις οὐδὲν ἔνι κρατούμενοι νὰ τὸ ποίσουν, ἂν οὐδὲν θελήσουν, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν, ἀμμὲ ἐντέχεται νὰ μείνουν ἀμέριμνοι τὸ λέγεται κίτες.

μϛ. Αὐτοῦ λέγει περὶ τοῦ κακοῦ χριστιανοῦ ὁποῦ παίρνει βίον διαφεντεμένον εἰς τὴν γῆν τοῦ Σαρακηνοῦ, καὶ τῆντα ἐντέχεται ἡ κρίσις νὰ ποίσῃ ἐκείνου τοῦ ἀνθρώπου ὁποῦ τὰ παίρνει.

Ἐὰν γίνεται ὅτι εἷς ναύτης, οὗ εἷς πραματευτής, ὅγιος καὶ ἂν ἔνῃ, παίρνει βίον διαφεντεμένον εἰς τὴν γῆν τοὺς Σαρακηνούς, ὥσπερ ἐὰν πάρῃ ἅρματα καὶ παρμποῦτιν, καὶ κλάτζαις ἀλυσιδωτάς, καὶ κοντάρια, οὗ τζάκραις, οὗ βέργαις σίδερον, οὗ στομίου, καὶ ἠμποροῦν νὰ τὸν νώσουν εἰς τὴν αὐλὴν τῆς

ἀλύσεως | διὰ τῶν ναύτων, οὗ παρὰ τῶν πραματευτάδων ὁποῦ φ. 42. ἦσαν ἐκεῖ καὶ εἶδάν τον τὸ πῶς τὸ ἐπούλησεν, καὶ ἐπῆρέν το τοῦ Σαρακηνοῦ ἐκεῖνον τὸν βίον τὸν διαφεντεμένον, καὶ ἐκεῖνον τὸ ἐπῆρεν ἐνέβαν πλεῖον παρὰ ἕνα μάρκον ἄσπμιν καὶ ἄνω μέρου, πάντα ὅσα ἔχει νὰ ἔνῃ τοῦ ἀφέντη τῆς χώρας, καὶ ἐντέχεται νὰ κριθῇ μὲ τὴν ἄλλην αὐλὴν τῆς βουργεσίας νὰ τὸν κρεμάσουν, ἐφειδὴν οἱ κριτάδες τῆς τζαΐανας ἔλαβαν ἔνμπροστέν του; μάρτυρας τοῦ αὐτοῦ πραγμάτου, καὶ αὐτὸν ἔνι κείμενον καὶ δίκαιον κατὰ τὴν ἀσίζαν.

μζ. Αὐτοῦ λέγει τὸ δίκαιον διὰ ἐκεῖνον τὸν βίον τὸν παραδίδουν νὰ τὸ πάρου ἀπάνω τῆς θαλάσσου, καὶ γίνεται ὅτι οἱ κουρσάροι στερεύγου τον πάντα ὅσα ἐβάσταν καὶ δικά του καὶ ἀλλότρια, οὗ τὸ πλοῖον ἂν τσακιστῇ καὶ χάνει πάντα ὅσα ἔχει.

Ἐὰν γίνεται ὅτι εἷς ἄνθρωπος δίδει ἑτέρου ἀνθρώπου ἀπαὶ τὸν βίον του νὰ τὸ ἠπάρῃ ἐπάν τῆς θαλάσσου εἰς τὸ κέρδος εἰς τὸ ριζικὸν τῆς θαλάσσης καὶ τοὺς λᾶς, καὶ γίνεται ὅτι ἐμπλάζουν του κουρσάροι καὶ στερεύγουν τον πάντα ὅσα ἐβάστα, οὗ γίνεται κακὸς καιρὸς καὶ τσακίζεται τὸ πλοῖον καὶ χάνουνται τὰ πάντα, τὸ δίκαιον ὁρίζει ὅτι αὐτὸς κατὰ τὸ αὐτὸν ἔνι κίτες, καὶ οὐδὲν ἐντέχεται τίποτες νὰ τοῦ καλλιωτερίσῃ τὸν βιον του· ἀνμὲ ἂν πάγῃ γερὸς καὶ κατκυγόδιος εἰς τὸ ταξεῖδιν ὁποῦ ἔμελλε νὰ πάγῃ, καὶ ἀφὸν ἐπῆγεν εἰς τὴν γῆν, ἐποῖκεν τίποτες τάραξιν καὶ ἐσκότωσεν κανένα ἄνθρωπον, καὶ διὰ τοῦτον ὁ ἀφέντης τῆς χώρας παίρνει πάντα ὅσα ἔχει, τὸ δίκαιον ὁρίζει ὅτι ἔνι κρατούμενος νὰ στρέψῃ τοὺς λᾶς πάντα ὅσα τοὺς ἐπῆρεν, ὅτι ποτὲ οὐδὲν ἔνι δίκαιον ὅτι οἱ καλοὶ λᾶς ὁποῦ τοῦ ἔδωκαν τὸ ἐδικόν τους διὰ νὰ ποίσῃ ἀγαθὸν οὐδὲν πρέπει νὰ τὸ χάσουν διὰ τὴν μωρίαν του, καθὰ ἐποῖκεν τὸ κακὸν ἀφ' ἑαυτοῦ του, οὕτως νὰ τὸ ἀναλάβῃ ἀφ' ἑαυτοῦ του· καὶ ἂν γίνεται ὅτι ἔλαβεν τὸ πρᾶγμαν τοὺς κα-

λοὺς λᾶς νὰ τὸ πάρῃ 'ς καταυγόδιον εἰς τὴν γῆν, ἔνι κρατούμενος νὰ τὸν ἀμαντιάσου, ὡς καὶ ἐὰν ἐγίνετο χαμένα, τουτέστιν ὡς καὶ ἂν ἐχάθησαν· καὶ ἐὰν ἦτον πρᾶμαν ἐτεσαῦτον ὅτι οὐδὲν ἔχε ἀπόθεν νὰ τὰ πλερώσῃ ὅλον ἐκεῖνον τὸ ἐδάσταν, ἡ αὐλὴ τῆς τζαϊάνας ἐντέχεται νὰ τὸν βάλῃ εἰς τὴν φυλακὴ ὀκτὼ ἡμέρας, καὶ ἀπεκεῖ καὶ νὰ πᾷ, ἀφὸν νὰ βαλτῇ εἰς τὴν φυλακήν, πρέπει νὰ τοῦ δώσουν ἐκεῖνος, οὐ ἐκεῖνοι, διὰ τοὺς ποίους ἐνέβη εἰς τὴν φυλακήν, νὰ τρώγῃ εἰς τὸ πρακάτω ψουμὶν καὶ νερόν, ἂν ἔνῃ ὅτι πλεῖον οὐδὲν θέλει νὰ τοῦ δώσῃ, καὶ τοῦτο ἔνι δίκαιον καὶ κείμενον κατὰ τὴν ἀσίζαν.

φ. 43. μη. | Αὐτοῦ λέγει τὸ δίκαιον περὶ τῶν βίων τοὺς ρίπτουται εἰς τὴν θάλασσαν καὶ κάτινες τὰ εὑρίσκου εἰς τὸν βυθὸν τῆς θαλάσσης, οὐ εἰς τὸ ρέμαν τῶν νερῶν, καὶ τῆντα μέρος νὰ λάβῃ ἐκεῖνος ὁποῦ νὰ τὸ εὕρῃ κάτω τῶν νερῶν εἰς τὸν βυθόν, καὶ τῆντα μέρος νὰ λάβῃ ἐκεῖνος ὅπου τὸ εὕρῃ εἰς τὸν ἀφὸρ (1) τοῦ νεροῦ.

Οἱ πραματευτάδες ὁποῦ πᾶν τῆς θαλάσσου, οὐ ἕτεροι λᾶς, ἂν λάχῃ ὅτι ἔχουν δυνατὸ καιρόν, καὶ ρίπτουν διὰ ἐκεῖνον τὸν κακὸν καιρὸν ἀπαὶ τὸν βίον τους, οὐ ἀπαὶ τὰ ροῦχά τους εἰς τὴν θάλασσαν, καὶ γίνεται ἐφειδὴν εὕρουν ἐκεῖνον τὸν βίον ἄνω τὸ νερὸν πλειῶντα, τὸ δίκαιον ὁρίζει ὅτι ἐκεῖνος ὁποῦ τὸ εὕρῃ ἄνω τοῦ νεροῦ χρὴ ἔχει τὸ ἥμισο, καὶ τὸ ἄλλον ἥμισο χρὴ γενέσται τοῦ ἀφέντη τοῦ πραγμάτου· ἀνμέ, ἂν ἔνῃ ὅτι ὁ βίος εὑρέθη εἰς τὸ βύθος τῆς θαλάσσης, ἐκεῖνος ὅπου τὸ εὕρῃ χρὴ ἔχει τὸ τρίτον μέρος, διότι ἐκεῖνος ὁ βίος ὁποῦ ἔνι εἰς τὸ βυθὸν τῆς θαλάσσου ἐγδέχεται τὸν ἀφέντη του, καὶ ἂν ἔνῃ ὅτι ὁ ἀφέντης τοῦ πραγμάτου οὐδὲν ἔνι, τὸ μερτικὸν τὸ ἐμπαῖνον τοῦ ἀφέντη τοῦ πραγμάτου ἐντέχεται νὰ ἔνῃ τοῦ ἀφέντη τῆς χώρας· καὶ ἐὰν τὸ καράβιν πέσῃ εἰς τὴν γῆν καὶ

(1) γραπτέον ἀφρό.

τσακίζεται διὰ κακὸν καιρόν, οὖ μὲ καλοταρία, οὖ μὲ ἄλλην ὁπλήν, ὡς γιὸν καὶ ἂν ἔνῃ, καὶ τσακίζεται τὸ καράβιν, οὖ τὸ πλοῖον, ὁ βίος ὁποῦ ἔνι μέσα ἐντέχεται νὰ ἔνῃ σωτηριασμένος ἐκείνου ὁποῦ ἔνι ἐδικόν του· ἀμμέ, ὅπου τσακιστῇ, ὁ ἀφέντης τοῦ τόπου ἐντέχεται νὰ ἔχῃ ἀπ' ἐκεῖνον τὸ καράβιν τὸ τσακισμένον, ὁποῦ ἐτσακίστη εἰς τὴν θάλασσαν, οὖ εἰς τὴν γῆν, τὸ τεμόνι καὶ τὸ ἄρμενον, ὅτι ἡ μακαρία ψυχὴ τοῦ ρὲ Ἀμαρὴν ἔδωκεν τούτην τὴν ἐλευτερίαν εἰς ὅλο τὸ ρηγάτον τῶν Ἱεροσολύμων.

μθ. Αὐτοῦ νὰ ἀκούσῃς ἕτερα δικαιώματα διὰ ἐκεῖνον ὁποῦ δανείζει τὸ ἐδικόν του, καὶ θέλουν νὰ τοῦ δώσουν ἄλλον παρὰ ἐκεῖνον τὸ ἐδάνεισεν. Αὐτὸ ἔνι νόμιμον λατίνικον· αὐτοῦ λέγει τὸ δίκαιον διὰ ἐκεῖνον ὁποῦ δανείζει τὸν βίον του ἑτέρου ἀνθρώπου, καὶ ἐκεῖνος ὁποῦ τὸ ἐδάνεισεν τὸ ἐδικόν του, θέλει νὰ τὸν πλερώσῃ ἀποὺ ἄλλον βίον παρὰ ἐκεῖνο ὁποῦ τοῦ ἐδάνεισεν.

Πάντες οἱ ἄνθρωποι ἐντέχεται νὰ ξεύρουν ὅτι ἐκεῖνος ὁποῦ δανείζει τὸ ἐδικόν του οὐδὲν ἔνι παντὸς κρατούμενος μὲ δίκαιον, ἂν οὐδὲν θέλῃ, νὰ περιλάβῃ ἕτερον πρᾶγμα παρὰ ἐκεῖνον τοιοῦτον ὡς γιὸν ἐδάνεισεν καὶ τοιούτης καλοσύνης· ὥσπερ ἂν σοῦ ἐδάνεισεν σιτάριν, οὐδὲν ἐντέχεται παντὸς νὰ τοῦ στρέψῃς κριθάρι, οὐδὲ ἂν σοῦ ἐδάνεισεν ἔλαιον |, οὐδὲν πρέπει νὰ φ. 44.
τοῦ στρέψῃς κρασίν, οὖ ἂν σοῦ ἐδάνεισεν πέρπυρα, οὐδὲν νὰ τοῦ δώσῃς καρτέσια, ἀμμὲ τὸ δίκαιον ὁρίζει ὅτι ἐσοὺ εἶσαι κρατούμενος νὰ στρέψῃς τοιοῦτον πρᾶγμαν, ὡς γιὸν σοῦ ἐδάνεισεν, καὶ νὰ σοῦ δείξω τὴν ἀφορμὴν διατί· διότι πολλαῖς φοραῖς γίνεται ὅτι τὸ νόμισμαν χρήζει πέντε σόρδια, καὶ γίνεται πολλαῖς φοραῖς τὸ πέρπυρον χρήζει δέκα σόρδια· καὶ τοὺ σιτάριν χρήζει τοιούτην ὥρα τὸ σιτάριν ἀξάζει ὁ μόδης πέρπυρον ἕνα, καὶ τρία μόδια κριθάρι εἰς τὸ πέρπυρον· διὰ τοῦτο ὁρίζει ὁ νόμος καὶ ἡ ἀσίζα ὅτι παντὸς οὐδὲν ἔνι δίκαιον ὅτι νὰ τοῦ δώσῃς, οὖ νὰ τοῦ στρέψῃς καρτζὰ διὰ πέρ-

πυρα, οὐδὲ κριθάριν διὰ σιτάριν, ἀμμὲ τοιοῦτον πρᾶγμαν, ὡς γιὸν σοῦ ἐδάνεισεν, τοιοῦτον ἐντέχεται νὰ τοῦ στρέψῃς μὲ δίκαιον, οὐδὲ ἡ αὐλὴ ἐντέχεται νὰ σφίξουν τινὰ νὰ πάρῃ ἄλλον, παρὰ τοιοῦτον ὡς γιὸν σοῦ ἐδάνεισεν, ἄνευ ἂν θέλῃ, ὁμοίως τοιούτης καλοσύνης καὶ τοιούτης τιμῆς, ὡς γιὸν ἦτον ὄντα σοῦ τὸ ἐδάνεισεν.

ν. Αὐτοῦ λέγει τὸ δίκαιον διὰ ἐκεῖνον ὁποῦ δανείζει τὸ ἐδικόν του ἑτέρου ἀνθρώπου, καὶ ὅταν τὸ ζητᾷ ἐκεῖνος ἀπολογᾶταί τον καὶ λαλεῖ του, ὅτι χρεωστεῖ του περίττου παρὰ ἐκεῖνο ὁποῦ τοῦ ζητᾷ, καὶ διὰ τοῦτον οὐδὲν θέλει νὰ τὸν πλερώσῃ, ἐὰν οὐ μὴ τὸ ἀγνωρίσῃ ἡ αὐλή.

Ἐὰν γίνεται μὲ κανένα ριζικὸν ὅτι εἷς ἄνθρωπος ἀνκαλὲ εἰς τὴν αὐλὴν διὰ ἕτερον ἄνθρωπον καὶ λέγει του ὅτι χρεωστεῖ του πέρπυρα δέκα, καὶ ἐκεῖνος ἀποκρίνεται « κῦρι, καλὰ λαλεῖς, ἀμμὲ οὐδὲν θέλω νὰ τὸν πλερώσω, ὅτι χρεωστεῖ μου πολλὰ περίττου παρὰ τὸ χρεωστῶ ἐγὼ ἐκείνου, καὶ διὰ τοῦτο οὐδὲν θέλω νὰ τὸν πλερώσω, ἂν οὐ μὴ τὸ ἀγρωνίσῃ ἡ αὐλή »· ἡ ἀγνωριμίδα τοὺς κριτάδες ἐντέχεται νὰ ἔνῃ ὅτι, ἐκεῖνος ἔνι κρατούμενος νὰ πλερώσῃ τὰ αὐτὰ δέκα πέρπυρα, διατὶ ἀνκάλεσεν προτήτερα παρὰ ἐκεῖνον, ὅτι καλὰ τὰ ἐμολόγησεν τὸ τοῦ ζητᾷ, καὶ μετὰ ταῦτα ἂς ἔρτῃ νὰ ἀνκαλέσῃ ἐξ αὐτόν του, διὰ τίποτες νὰ τοῦ τὸ εἰπῇ, καὶ ἔνι μετὰ ταῦτα κρατημένος νὰ τοῦ ποίσῃ δίκαιον, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν.

να. Αὐτοῦ λέγει τὸ δίκαιον περὶ ἐκείνου τοῦ ἀνθρώπου ὁποῦ ἀρνᾶται τὸ τοῦ ἐδάνεισαν, καὶ μετὰ ταῦτα ἐγνώρισέν το εἰς τὴν αὐλὴν ἄνευ δυναστείας μαρτύρων, ποταπὸν δίκαιον ἐντέχεται νὰ γίνεται ἐξ αὐτόν του.

Ἐὰν γίνεται ὅτι εἷς ἄνθρωπον ἀνκαλὲ εἰς τὴν αὐλὴν διὰ ἕνα ἄνθρωπον διὰ βίον ὁποῦ τοῦ χρωστεῖ, καὶ ἐκεῖνος ὁποῦ
φ. 45. τοῦ ζητᾷ τὸν βίον ἀρνᾶταί το εἰς τὴν αὐλὴν | ἐνώπιον τοῦ

βισκούντη καὶ τοὺς κριτάδες, καὶ γίνεται ὅτι μετὰ ταῦτα ὅτι ἀναγνωρίζει τα τὸ χρεῖος ἔμπροστεν τοῦ βισκούντη καὶ ἔνπροστεν τοὺς κριτάδες ἄνευ σφίξιμον μαρτύρων, τὸ δίκαιον ὁρίζει ὅτι ὅλο προτήτερα νὰ πλερώσῃ ἐκεῖνον τὸν βίον τὸν ἐρνήθην, καὶ τότες μένει διὰ ἄπιστον καὶ ἔχασεν ἀντίλογον εἰς τὴν αὐλὴν καὶ ἀπολογίαν, ὡς ὅτι ποτὲ νὰ μηδὲν τοῦ πιστέψουν, οὐδὲ νὰ τοῦ ἀκώσουν εἰς τὸ ἔνκλημάν του, οὐδὲ τῆς μαρτυρίας του νὰ πιστεύσουν, καὶ ἔπεσεν εἰς τὴν ἀφεντίαν, καθὰ χρεωστεῖ νὰ δώσῃ ἄνθρωπος ἄπιστος, ὅποιος ἀφ' ἑαυτοῦ του μόνου ἐφανερώθην ἡ ἀπιστία του, ὅτι ἀρνήθην τὸν βίον καὶ μετὰ ταῦτα ὡμολόγησέν τον.

νβ. Αὐτοῦ λέγει τὸ δίκαιον διὰ ἐκεῖνον ὁποῦ δανείζει τὸ ἐδικόν του ἑτέρου ἄλλου ἀνθρώπου, καὶ φέρνει δύο μάρτυρας, καὶ πεθάνει μετὰ ταῦτα ὁ εἷς.

Ἐὰν γίνεται ὅτι εἷς ἄνθρωπος δανείζει τὸν βίον του ἑτέρου ἀνθρώπου καὶ ἔβαλεν δύο μαρτυρίαις, καὶ μετὰ ταῦτα γίνεται ὅτι εἷς τῶν μαρτύρων τελευτᾷ, καὶ μετὰ ταῦτα χρήζεται τοὺς δύο μάρτυρας ἐκείνους ἀποῦ ἐδάνεισεν, διότι ὁ χρειωφελέτης του ἀρνᾶται τὸν βίον ἀποῦ τοῦ ἐδάνεισεν, τὸ δίκαιον ὁρίζει ὅτι ὁ μάρτυς ὁ ζωντανὸς ἐμπορεῖ καλὰ νὰ σύρῃ μαρτυρία διὰ λόγου του καὶ διὰ τὸν τεθνεῶτον, ἀμμὲ χρήζεται πόλεμον, ἂν ἔνῃ τὸ ἀνκάλεμαν ἀποὺ ἕνα μάρκο ἀσῆμι καὶ ἀπάνω, ὅτι ὁ χρειωφελέτης ἐμπορεῖ νὰ ζητήσῃ ἐκεῖνον τὸν μάρτυ τὸν θέλει νὰ πολεμήσῃ, καὶ εἴ τις νικηθῇ, ἐντέχεται νὰ τὸν κρεμάσουν, μὲ τὸ δίκαιον καὶ μὲ τὴν ἀσίζαν.

νγ. Ὧδε λέγει τὸ δίκαιον διὰ τὸ χρεῖος ἀπαὶ τὸ ποῖον ἐγνώρισεν ἕνα μέρος, καὶ τὸ ἄλλο ὄχι.

Ἐὰν γίνεται ὅτι εἷς ἄνθρωπος χρωστεῖ πρᾶγμαν ἑτέρου ἀνθρώπου, καὶ ἐκεῖνος ζητᾷ τὸν βίον του τοῦ χρειωφελέτη του νὰ τοῦ τὸ στρέψῃ, καὶ ἐκεῖνος ἀπολογᾶται « ἀληθῶς ἔνι τὸ ἐχρώστουν σου πέρπυρα, κʹ, ἀμμὲ ἐπλέρωσά σου τὰ ιʹ πέρπυρα,

καὶ τὰ ἄλλα ι΄ πέρπυρα θέλω σου τὰ πλερώσει ἐγλήγορα » : καὶ ἐκεῖνος ἀποκρίνεταί του « μὴ τὸ ὁρίσοι ὁ θεός, ὅτι ἐμένα ἐπλέρωσές μου τίποτες, ἀμμὲ χρεωστεῖς μου κ΄ πέρπυρα· » ἡ φ. 46 αὐλὴ ἐπάνω εἰς τὸ αὐτὸν θέλει νὰ βιγλίσῃ ὅτι, | ἂν ἔνῃ ὅτι ἐκεῖνος ἔχει μάρτυρας δύο ἀνθρώπους ὁποῦ τὸν εἶδασι νὰ πλερώσῃ ἐκεῖνα τὰ ι΄ πέρπυρα, ἐντέχεται νὰ ἔνῃ κίτες, τουτέστιν ἀμέριμνος· εἰ δὲ ἐκεῖνος ἀρνᾶται ὁποῦ ζητᾷ τὸ πρᾶγμαν, ἔχει πόλεμον, ὅτι ἠμπορεῖ νὰ κράξῃ τὸν ἕνα τῶν μαρτύρων διὰ πόλεμον· καὶ ἐὰν ἐκεῖνος οὐδὲν ἔχῃ δύο μάρτυρας ὁποῦ τὸν εἶδασι νὰ πλερώσῃ ἐκεῖνον τὰ ι΄ πέρπυρα ἐκεῖνα τὰ ζητᾷ ἐκεῖνος, ἐντέχεται νὰ ὀμόσῃ εἰς τὰ ἅγια ὅτι οὐδὲν ἔλαβεν τίποτες ἀπ' ἐκεῖνα τὰ ι΄ πέρπυρα, οὐδὲ ἄλλος διὰ λόγου του, καὶ τότες ἡ αὐλὴ ἐντέχεται νὰ τὸν ποίσῃ νὰ πλερώσῃ τὸν χρειωφελέτην του τὰ κ΄ πέρπυρα, κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν τῶν Ἱεροσολύμων. Ὁμοίως ἐὰν εἷς ἄνθρωπος δανείσῃ ἄλλου ι΄ πέρπυρα, καὶ μετὰ ταῦτα ὄντα τὰ ζητᾷ τοῦ χρειωφελέτη του, ἐκεῖνος ἀρνᾶται τοῦτον, τὸ δίκαιον ὁρίζει ὅτι χρήζεταί του δύο μάρτυρας ἐκείνου ὁποῦ ἐδάνεισεν τὰ ι΄ πέρπυρα, τὸ πῶς τὸν εἶδαν νὰ τοῦ δανείσῃ τὰ αὐτὰ πέρπυρα, καὶ ἂν οὐδὲν ἔχῃ μάρτυρες ἀποῦ τὸν εἶδασι πῶς τοῦ τὰ ἐδάνεισεν, καὶ ἔχει μάρτυρες τῆς ἀθυμήσεως, οὐδὲν τὸν ἀξιάζουν τίποτες, ἂν ἔνῃ ὅτι ἡ ἀθύμησις οὐδὲν ἐγίνετον ἔμπροστεν τοῦ ἑνοῦ καὶ τοῦ ἄλλου, τούτεστι τοῦ δανειστιοῦ καὶ τοῦ χρειωφελέτη, οὐδὲ μὴ ἐκεῖνος ὁποῦ τοῦ ζητᾷ τὸ πρᾶγμα ὁ χρειωφελέτης νὰ ὀμόσῃ εἰς τὰ ἅγια ὅτι τίποτες οὐδὲν τοῦ χρωστεῖ, οὐ ἐδάνεισέν του τίποτες, καὶ μετὰ ταῦτα νὰ ἔνῃ κίτες.

νδ. Αὐτοῦ λέγει τὸ δίκαιον περὶ ἐκείνου ὁποῦ ἔβαλεν τὸ ἄλογόν του ἀμάχι.

Ἐὰν εἷς ἄνθρωπος βάλῃ τὸ ἄλογόν του ἀμάχι εἰς ἕτερον ἄνθρωπον διὰ πέρπυρα κ΄ ἕως ἕνα καιρόν, τὸ λέγεται τάρμε,

ὠνοματισμένον, καὶ μετὰ ταῦτα ὄνταν ἔλθῃ ὁ καιρὸς ἐκεῖνος, οὐδὲν θέλει νὰ τὸ ἀποσπάσῃ, ὁ δανειστιὸς ἐμπορεῖ καλὰ νὰ ποίσῃ νὰ διαλαλήσουν τὸ ἀμάχι εἰς τὴν χώρα β' ἡμέραις, καὶ τὴν τρίτη ἡμέραν ἠμπορεῖ νὰ τὸ λεβριάσουν εἰς ἐκεῖνον ὁποῦ πλεῖον νὰ βάλῃ, καὶ ἐκεῖνος οὐδὲν ἠμπορεῖ νὰ ἔχῃ ἀπαὶ τὸ ἀμάχιν του παροὺ ὅσα ἐδάνεισεν ὀμπρός, ἐκεῖνος ὁποῦ τὸ ἔβαλεν ἀμάχι ἔνι κρατούμενος νὰ τοῦ στρέψῃ τὰ λείπουνται, μὲ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν τοῦ ρηγάτου τῶν Ἱεροσολύμων, εἰ δὲ ἔλαβε πλεῖον ἀπαὶ τὸ ἀμάχιν παρὰ τὰ ἔδωκεν ἄνω, ἐντέχεται νὰ τοῦ στρέψῃ τὰ περίττου τοῦ ἀφέντη τοῦ ἀμαχίου, οὖ τοὺς λᾶς του μὲ δίκαιον.

νε. Αὐτοῦ νὰ ἀκούσετε τὸ δίκαιον τῶν ἀμαχίων ὁποῦ χάνουνται.

Ἐὰν γίνεται ὅτι εἷς ἄνθρωπος δανείζει ἑτέρου ἀνθρώπου κ' πέρπυρα καὶ λαβάνει ἀμάχι, ὡς γιὸν ἔνι ζωνάρια | ἀργυρᾶ, οὖ φ. 47. ἕτερα ἀνκεῖα χρυσᾶ, οὖ ἀργυρᾶ, γίνεται μετὰ ταῦτα ὅτι ὁ δανειστιὸς χάνει τὰ ἀμάχια, οὖ κλέφτουνται, τὸ δίκαιον οὕτως ὁρίζει ὅτι εἰς πᾶσα ὁπλὴν ὁποῦ τὰ ἔχασεν ὁ δανειστιός, οὖ ἂν τοῦ τὸ ἔκλεψαν, νὰ τὰ ἀνταποδώσῃ ἐκείνου ὁποῦ τοῦ τὰ ἔδωκεν διὰ ἀμάχιν, μὲ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν.

νϛ. Αὐτοῦ λέγει περὶ ἐκείνου ὁποῦ οὐδὲν ἔχει ἀπόθεν νὰ πλερώσῃ ἐκεῖνον τὸ χρεωστεῖ.

Ἐὰν εἷς ἄνθρωπος ἐδάνεισεν ἑνοῦ ἑτέρου ἀνθρώπου κ' πέρπυρα ἕως καιρὸν ὠνοματισμένον, καὶ μετὰ ταῦτα ὅταν ἔρτῃ ὁ καιρὸς καὶ ζητᾷ του τὰ πέρπυρά του, καὶ ὁ χρειωφελέτης ἀποκρίνεται ὅτι, οὐδὲν ἔχει ἀπόθεν νὰ ἐμπορήσῃ νὰ τὸν πλερώσῃ, καὶ γίνετη ὅτι ὁ δανειστιὸς ἀνκαλὲ εἰς τὴν αὐλὴν τὸν χρειωφελέτην, τὸ δίκαιον ὁρίζει ὅτι οἱ κριτάδες ἐντέχεται νὰ κρίνουν ὅτι ὁ χρειωφελέτης ὁποῦ λαλεῖ ὅτι οὐκ ἔχει ἀπόθεν νὰ πλερώσῃ ἐκεῖνον τὸ χρειωστεῖ τοῦ δανειστιῶ, ἐντέχεται νὰ ὀμόσῃ εἰς τὰ ἅγια ὅτι οὐδὲν ἔχει ἄνω τῆς γῆς ἀπόθεν νὰ

ἐμπορήσῃ νὰ τὸν πλερώσῃ ἐκεῖνο ὁποῦ τοῦ χρεωστεῖ, καὶ ἀφὸν ὁμόσῃ, ἡ αὐλὴ ἐντέχεται νὰ τὸν παραδώσῃ τὸ κορμὶν τοῦ χρειωφελέτη εἰς τὸν δανειστιόν, καὶ ἐντέχεται νὰ τὸν κρατῇ ὥςπερ χριστιανὸν εἰς τὸ σπίτιν του, καὶ ὄντα περιλάβῃ τὰ πέρπυρά του, ἐντέχεται νὰ τὸν στρέψῃ εἰς τὴν κρίσι, μὲ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν τοῦ ρηγάτου τῶν Ἱεροσολύμων.

νζ. Αὐτοῦ λέγει τὸ δίκαιον τοῦ Φράνκου καὶ τοῦ Συριάνου διὰ χρεῖος τὸ χρεωστεῖ ὁ εἷς τοῦ ἄλλου.

Ἐὰν γίνεται ὅτι εἷς Φράνκος ἀνκαλὲ ἕναν Συριάνον εἰς τὴν αὐλὴν διὰ πρᾶγμαν τὸ τοῦ χρεωστεῖ, καὶ ὁ Συριάνος ἀρνᾶται τὸ πρᾶγμαν, ἤουν τὸν βίον, καὶ ὁ Φράνκος οὐδὲν ἔχει μάρτυρες, τὸ δίκαιον ὁρίζει ὅτι ὁ Συριάνος νὰ ὁμόσῃ ἐπάνω εἰς τὸ τίμιον σταυρὸν ὅτι οὐδὲν τοῦ χρεωστεῖ τίποτες, καὶ περὶ αὐτοῦ τοῦ ὅρκου ὁ Συριάνος νὰ μείνῃ κίτες.

Ὁμοίως ἐὰν εἷς Συριάνος ἀνκαλὲ εἰς τὴν αὐλὴν ἕνα Φράνκον διὰ πρᾶγμαν τὸ τοῦ ἔδωκεν, καὶ ὁ Φράνγκος ἀρνᾶται τὸ πρᾶγμαν τὸ τοῦ ζητᾷ, καὶ ὁ Συριάνος οὐδὲν ἔχει μάρτυρας, ὁ Φράνκος ποτὲ οὐδὲν νὰ τοῦ στρέψῃ ὅρκον τοῦ Συριάνου, ἂν οὐδὲν ἔχῃ κανέναν πρᾶγμαν τῆς ἀθύμησης.

νη. Αὐτοῦ λέγει τὸ δίκαιον τοῦ Φράνγκου καὶ τοῦ Σαρακηνοῦ.

Ἐὰν εἷς Σαρακηνὸς ἔνῃ ἀνκαλεμένος εἰς τὴν αὐλὴν ἀποὺ ἕνα Φράγκον διὰ βίον ἀποῦ χρεωστεῖ τὸ θέλει νὰ περιλάβῃ ἐξ αὐτόν του, καὶ τὸν βίον ἀρνᾶταί τον ὁ Σαρακηνός, καὶ ὁ Φράνκος μάρτυρας οὐκ ἔχει, τὸ δίκαιον ὁρίζει ὅτι ὁ Σαρακηνὸς νὰ ὁμόσῃ ἀπάνω εἰς τὸν νόμον τὸν πιστεύγει ὅτι τίποτες οὐδὲν τοῦ χρεωστεῖ, καὶ μὲ τοῦτον νὰ μείνῃ κίτες.

φ. 48. | Ὁμοίως ἐὰν εἷς Σαρακηνὸς ἀνκαλὲ ἕνα Φράνκον εἰς τὴν αὐλὴν διὰ βίον ἀποῦ χρεωστεῖ, καὶ ὁ Σαρακηνὸς οὐδὲν ἔχει μαρτυρίας, τὸ δίκαιον ὁρίζει ὅτι ὁ Φράνκος οὐδὲν ἐντέχεται νὰ στρέψῃ ὅρκον τοῦ Σαρακηνοῦ, ἂν οὐκ ἔχῃ κανένα πρᾶγμα ἀθύμησι.

νθ. Αὐτοῦ λέγει τὸ δίκαιον τοῦ Ρωμαίου καὶ τοῦ Φράνκου.

Ἐὰν γίνεται ὅτι εἷς Φράγκος ἀνκαλὲ εἰς τὴν αὐλὴν ἀποὺ ἕνα Ρωμαῖον, ἀπαὶ κανένα πρᾶγμαν τὸ ἀνκαλὲ ὁποῦ ἔνι καθάπερ χρεῖος, καὶ ὁ Φράγκος ὁποῦ ἀνκαλέ, οὐδὲν ἔχει Ρωμαίως μάρτυρας, ἐφειδὴν ἐκεῖνος ἀρνᾶται τὸ χρεῖός του, ἄλλη μαρτυρίαις οὐδὲν ἔνι ἀξαζόμεναις κατὰ τὸ δίκαιον καὶ κατὰ τὴν ἀσίζαν, διότι ὁ Φράγκος οὐδὲν ἠμπορεῖ νὰ σύρῃ μαρτυρία κατὰ πρόσωπα τοῦ Ρωμαίου, οὐδὲ ὁ Ρωμαῖος κατὰ πρόσωπα τοῦ Φράγκου, κατὰ τὴν ἀσίζαν τοῦ ρηγάτου τῶν Ἱεροσολύμων.

ξ. Αὐτοῦ ξηγᾶται τὸ δίκαιον τοῦ Ρεωμαίου καὶ τοῦ Ἀρμενίου.

κεκερασμένως, ὅτι ὁ αὐτὸς ἀρχιεπίσκοπος πέντε, ὁ Πάφου ἐπίσκοπος τέσσαρης, ὁ Ἀμμοχούστου τρεῖς, καὶ ὁ Νεμεσοῦ ὁμοίως τρεῖς. Ἐκ τῶν Γραικῶν τῶν αὐτῶν πόλεων καὶ ἐνορίων ἀπὸ πάντων λαμβάνωσιν κατ' ἔτος, ὧν μιᾷ ἑκάστη ὁμάδα τριάκοντα σόλδια τουρνέσια, ἢ νομίσματα, τὸ ἶσον αὐτῶν καὶ οὐ πλεῖον· μᾶλλον τῆς ἐξόδου τὴν ὁμάδαν ἐπισκέψεως χάριτι ἐκποιῆσαι αὐτῶν εἰς τὴν πτωχείαν τῶν Γραικῶν ὀφείλομεν | ἐλεημονητικῶς ἐπιβλέψαι οὕτως κεκερασμένως, ὅτι οἱ λατῖνοι ἐπίσκοποι εἰς αὐτὸν ὑπάρχωσιν τὴν ἐκκλησίαν αὐτῶν τὰ καλὰ ἐκδιδόμενα· καὶ ἐὰν ἡ αὐτὴ ἐρεύνησις τοῦ ὀφφικίου αὐτοῦ τὴν ὀφειλὴν βουλόμεθα· ἐὰν τῆς ὀρθοδόξου πίστεως γένεται χρῆσις ἢ γύρευσις ὑπακοῆς τῆς ἐκκλησίας τῆς Ῥώμης, ὀφείλει ἡ σύνηθη γεννηθέντα καὶ διαφέροντα, ὅτι οἱ αὐτοὶ Γραῖκοι πολλάκις ἐπισκέψονται εἰς αὐτοὺς ἐπάνω αὐτῶν, ἄνευ ἑτέρου τι αὐτῶν ἀγανάκτησις ἐπισκέψεως ὀφείλει ἰδίως ἐκπληρῶσαι. φ. 7.

Ὅταν αὐτοὶ τῶν ἱερῶν κανόνων τὰς ἐκδόσεις ἐνεργοῦσιν ἐκπληρῶσαι, κρατῆνται σιγῶς δίκαια τοῦ λαμβάνειν δεκατισμὸν εἰς τὴν νῆσον τὴν μνημονευθεῖσαν διαφέρωσιν εἰς τὴν ἐκκλησίαν τῶν λατίνων καὶ εἰς αὐτοὺς τῶν δεκατισμῶν ἀπολαβεῖν τὴν συνήθειαν ἐκ τῶν ἀρχιερέων καὶ ἱερέων τῶν λατίνων λαμβανόμενα καὶ εἰθισμένα φυλαχθῶσιν, διὰ τοῦτο πάλιν τὸ λέγομεν τῆς αὐτῆς μερίας τὰ συνήθη φυλαχθῶσιν, μηδεὶς αὐτῶν εἰς πλήρωσιν τὸν δεκατισμὸν ἐμβαλεῖν, εἰ μὴ δίκαια κανονικὰ καὶ θεϊκῷ ὀφείλει.

Ἀφοῦ ἡ ἐκκλησία τῶν Γραικῶν τοῦ ῥηγάτου τῆς Κύπρου κατὰ τὸν αὐτὸν ἰσασμὸν οὐκ ἦν, γεγενημένον τὸν αὐτὸν μητροπολίτην μετὰ ταῦτα, βουλόμεθα δὲ τὸν ῥηθέντα Γερμανὸν ἀρχιεπίσκοπον τῶν Γραικῶν ἕως οὗ ζῇ ἀξίωμα ἀρχιεπισκόπου ὀνόματι καὶ τιμῇ ἐναπομεῖναι, καὶ τὸ σῶμα αὐτοῦ ἀπὸ τοῦ ἀρχιεπισκόπου Λευκουσίας πᾶν ζήτημα ἐλευθεροῦμεν· ἐξουσίαν πάλιν ἐκδίδομεν τὸν αὐτὸν Γερμανὸν ζῶντα καὶ μετὰ θάνατον

οὐδεὶς εἰς τὸν προρρηθέντα ρηγάτον ἀπὸ τοῦ νῦν ἀρχιεπίσκοπον χειροτονηθῆναι, καὶ ὅτι τὸν αὐτὸν Γερμανὸν βουλόμεθα εἰς ἕτερον θρόνον μεθέξασθαι τοῦ προρρηθέντος Νείλου Σωλείας τῆς ἐνορίας Λευκουσίας, ἐκ τὰς ἀλύσεις τῆς ἐκκλησίας ἃς ἐκρατεῖτο συμπαθοῦμεν αὐτοῦ καὶ εἰς τὴν καθέδραν τῆς ἐπισκοπῆς τῶν Γραικῶν τῆς Ἀρσενόης τῆς ἐνορίας Πάφου νῦν χηρευούσης ἐκ πληρεστάτης ἀποστολικῆς ἐξουσίας ἔχειν, καὶ μετὰ τῶν ἀδελφῶν ἡμῶν συμβουλὴν μεταθέντες δίδομεν αὐτῷ λύσιν εἰς τὴν καθέδραν κα ἰενορίαν τῆς Σωλείας τόσον εἰς πνευματικὰ ὅσον καὶ εἰς σωματικὰ ἐκ τῶν αὐτῶν τὴν βουλὴν καὶ ἐξουσίαν μεταθέτομεν, ἐπ᾽ αὐτὴν κρατῶν ἑαυτὸν διηνεκῶς ἀξίωμα ἀρχιεπισκοπικῇ τιμῇ καὶ ὀνόματι, ἐπισκοπικῇ δὲ κυβερνῶν· πάλιν δ᾽ εἶναι αὐτὸν ἐλεύθερον εἰς τὴν ρηθεῖσαν καθέδραν τῆς Σωλείας, ἢ καὶ εἰς τὴν ἐκκλησίαν τῶν Γραικῶν τοῦ ἁγίου ἀποστόλου Βαρνάβα εἰς Λευκουσίαν, ἣν τὸν ἐπίσκοπον τῆς αὐτῆς καθέδρας ἀπὸ τοῦ ἡμετέρου αὐτοῦ ἰσασμοῦ ὀφφικίῳ μετέχειν διηνεκεῖ βουλόμεθα, καὶ ἐν αὐτῷ κατοικεῖν. Τὸν αὐτὸν λοιπὸν ἀρχιεπίσκοπον καθημένου, ἢ οὗ εἰς τὴν καθέδραν Σωλείας· ὅταν δὲ ὁ αὐτὸς χηρεύσῃ, Γραῖκον γένος γενηθήτω, ὃς τῷ Λευκουσίας ἀρχιεπισκόπῳ τῷ αὐτῷ τρόπῳ ᾧ ἂν οἱ ἕτεροι ἐπίσκοποι Γραῖκοι τοῖς λατίνοις ὀφείλωσιν ὑποκεῖσθαι ἀρχιερεῖς, δικαίῳ τοῦ ἐμφανομένου ἰσασμοῦ ἐπιβλέψεως ἔσται ἐπήκοος.

Τῷ αὐτῷ πάλιν Γερμανῷ τῷ Γραίκῳ ἀρχιεπισκόπῳ εἰς μοναστήρια, ἐκκλησίας, ἱερεῖς καὶ λαὸν τῶν Γραικῶν Λευκουσίας πόλεως καὶ ἐνορίας τὴν αὐτὴν ἔχειν βουλόμεθα μετὰ τῆς μεταθεμένης αὐτῷ καθέδρας ἐνεργεῖν ἐξουσία οἷα οἱ ἕτεροι τῶν Γραικῶν ἐπίσκοποι τοῦ ρηγάτου τῆς Κύπρου ἐξ αὐτοῦ τοῦ φ. 8. ἰσασμοῦ ἐπίβλεψιν εἰς τοὺς αὐτοῦ | ἐν τοῖς ἑαυτῶν ὑποτακτίταις ἐρευνῆσαι.

Ἰσάζομεν καὶ ὁρίζομεν ὅτι τὸν αὐτὸν Γερμανὸν τὸν Γραῖ-

κον ἀρχιεπίσκοπον ἕως οὗ ζῇ ἐκ τοῦ αὐτοῦ ἡμετέρου ἰσασμοῦ, μὴ ὄντος ἀντιδικίας τοῦ λατίνου ἀρχιερέως, ἐλεύθερος τοὺς κανονικοὺς Γραίκους τῆς Κύπρου ἐκλεκτούς, ἢ τοὺς μέλλοντας ψηφισθῆναι εἰς ἐπισκόπους, καὶ ἀπὸ τοὺς λατίνους ἀρχιερεῖς εἰς ὧν ὑπάρχωσιν ἐνορίας, στερρέωμα ἐξουσίᾳ ἣν τῷ μητροπολίτῃ εἰς ἱερὰς κοινοῦ τάξεις, καὶ κινηθέντες χειροτονεῖν· καὶ τοὺς ἑτέρους τοῦ αὐτοῦ ῥηγάτου Γραίκους ἐπισκόπους καλέσας εἰς τὴν χειροτονίαν, καὶ ἐρευνῶν εἰς πάντας Γραίκους τοῦ αὐτοῦ ῥηγάτου τῇ αὐτῇ ἐξουσίᾳ ἐπιβλέψεως ἐκπληρῶν ὀφφίκιον ὅσον διὰ δικαίου ἐστὶν τοῦ ἐκπληρῶσαι, καὶ εἰς ἐπιβλέψεις, ἢ εἰς αὐτὰ τὰ τῆς ἐπιβλέψεως δίκαια διαφέρωσιν ἅτινα τῷ μητροπολίτῃ οἱ ἱεροὶ κανόνες ἐκδίδονται, ἔχειν ἐξουσίαν εἰς τὴν ζωὴν αὐτῶν εἰς αὐτοὺς ὁ ἀρχιεπίσκοπος καὶ οἱ ἐπίσκοποι λατῖνοι εἴς τινας αὐτοὺς ὡς καὶ ἕτερα δίκαια καθὼς ὁ ἐμφανούμενος ἰσασμὸς ἐτέθη μετὰ τὴν αὐτοῦ Γραίκου ἀρχιεπισκόπου παρέλευσιν, διαφέρωσιν αὐτὰ εἰς τὴν ζωὴν αὐτοῦ μήτε ὅλως μετέχωσιν, σωζομένου πάλιν τοῦ Λευκουσίας ἀρχιεπισκόπου καὶ τοῖς ἐπισκόποις τοῖς λατίνοις εἰς ἑτέροις κεφαλαίοις, εἰς ἅπερ ὁ ἀρχιεπίσκοπος Γραῖκος ὑπομείνει, ἐξουσία ἣν τοῦ Λευκουσίας ἀρχιεπισκόπου δίκαια μητροπόλεως, καὶ τόσον εἰς αὐτοὺς ὅσον εἰς τοὺς ἑτέρους ἐπισκόπους λατίνους δίκαιον ἐνορίας τοῦ ἐρευνῆσαι εἰς πάντας τοὺς Γραίκους τοῦ ῥηγάτου τοῦ προρρηθέντος ἐξ αὐτοῦ τοῦ ἡμετέρου ἰσασμοῦ τελειώσεως.

Λοιπὸν τὸν προρρηθέντα ἀρχιεπίσκοπον τῶν Γραικῶν ζῶντα, ὡς καὶ μετὰ ταῦτα δικαιοδοσίᾳ μιᾷ ἑκάστῃ εἰς Γραίκους πόλεως καὶ ἐνορίας Λευκουσίας, ἄνευ τοῦ σώματος τοῦ προρρηθέντος Γερμανοῦ ἀρχιεπισκόπου, εἰς ἐγκλήτους καὶ εἰς ἑτέρους ὁ λατῖνος ἀρχιεπίσκοπος κρατεῖν ὥσπερ καὶ τοῖς ἑτέροις λατίνοις ἐπισκόποις τοῦ ῥηγάτου τοῦ προρρηθέντος διὰ τοῦ ὀρδινιασμοῦ τοῦ αὐτοῦ εἰς ἐπισκόπους ἱερεῖς καὶ ἑτέρους Γραίκους.

Καθὼς δὲ τὸ σῶμα τοῦ αὐτοῦ Γερμανοῦ ἀρχιεπισκόπου ἕως οὗ ζῇ τελείως ὑπάρχειν βουλόμεθα ἐκ τοῦ ἀρχιεπισκόπου ἐξουσίας τοῦ λατίνου, εἰ μὴ εἰς τὴν τοῦ αὐτοῦ ὀρδινιασμοῦ φύλαξιν ὁ αὐτὸς Γερμανὸς ἀρχιεπίσκοπος, ὀνόματι τοῦ θρόνου Σωλείας τῆς δοθείσης αὐτῷ παρὰ τοῦ λατίνου ἀρχιεπισκόπου, ὁρκωμοτικὴν ὁμολογίαν ὑπακοῆς ποιῆσαι κατὰ τὴν τάξιν τοῦ ἄνωθεν ἐκδεδομένου διὰ τὴν ὁμολογίαν καὶ ὑπακοὴν ταύτην τοῦ λατίνου ἀρχιεπισκόπου εἰς τὸ σῶμα τοῦ αὐτοῦ Γερμανοῦ ἀρχιεπισκόπου προσθεῖναί τι αὐτῷ ὑποθέσεις τινάς, μηδεμίαν ἔχειν βουλόμεθα ἐξουσίαν ὅτι τὴν δοθεῖσαν εἰς τὸ σῶμα αὐτοῦ διὰ τοῦ αὐτοῦ ἰσασμοῦ ἀδουλωσύνην πληρεστάτην ἐλευθερίαν χαρῆναι.

Εἰς αὐτὸ πάλιν, ὅταν ἐκ τοῦ ῥηθέντος Γερμανοῦ τῶν Γραικῶν ἀρχιεπισκόπου γίνεται ἐγκλήτευσις εἰς τὸν λατῖνον ἀρχιεπίσκοπον, φυλαττομένου τοῦ κρίματος τοῦ ἀποστολικοῦ ἄνευ ἐγκλητεύσεως. Ὅταν δὲ ὁ Λευκουσίας ἀρχιεπίσκοπος μετὰ τὴν τοῦ ῥηθέντος Γερμανοῦ ἀρχιεπισκόπου παρέλευσιν, Γραίκους τῆς αὐτοῦ ἐνορίας, ἢ εἰς τοὺς ὑποτακτίτας αὐτοῦ πόλεων καὶ ἐνορίων δικαίου τῆς αὐτοῦ μητροπόλεως, ὅτι τὸν αὐτὸν μετέχειν βουλόμεθα τοῦ ἐπιβλέπειν. Μίαν μόνον εἰς καθεκάστην πόλιν καὶ ἐνορίαν ἀπὸ πάντας τοὺς Γραίκους αὐτοῦ ἐν ὁμονοίᾳ κατ' ἔτος ἑξήκοντα σορδία τουρνέσια, ἢ τὴν ὁμάδαν τὸ ἴσον τρικέφαλα μα' ἀποστρέφῃ.

Ἀμφότεροι δὲ ἔχωσιν ἐξουσίαν τῶν λατίνων ἤγουν καὶ τῶν Γραικῶν οἱ ἀρχιερεῖς τοῦ ῥηγάτου τῆς Κύπρου διὰ τοῦ τιμημένου αὐτοῦ ὀρδινιασμοῦ.... [λείπει τὸ τέλος].

Διδασκαλία πρώτιστος τοῦ ἐπιζητουμένου. φ. 9.

Ἄκουσον, δέσποτα κριτά, τοῦ σοφιστοῦ τοῦ Κέλσου
τοῦ διδασκάλου ῥήτορος φανέντος ἐν τῷ κόσμῳ,
δικαιοσύνην πάντων (1) διδαχῶν ἀρχήν τε καὶ τέλος λέγων·
ἐκάθισεν πανάριστος κριτὴς τὸ δίκαιον ἐπιβλέπων,
ἐκάθισεν κριτὴς ὡς νουνεχὴς εἰς κρίσιν τὴν δικαίαν,
ἐκάθισεν κριτὴς ὁλοτελῶς ἀνένοχος σκανδάλου,
ὡς πάντων κτίστης καὶ θεὸς δικαιωτὴς τῶν ὅλων,
οὐ βλέπει πρόσωπον πτωχοῦ εἰς κρίσιν τὴν δικαίαν,
ἀλλ' οὔτε εἰς ἄρχοντα ὁρᾷ ἀντίκρυς τοῦ δικαίου,
ἀλλ' οὖν τοὺς πάντας ἐλεεῖ, τὸ ἴσον χορηγεῖται·
Τούτου μιμοῦ, ὦ δέσποτα, καθήμενος εἰς κρίσιν,
καὶ βλέπε τὴν ἐπίδειξιν τοῦ σοῦ ἐγκαλουμένου,
ὡς γὰρ ἀδικούμενος παρίσταται ἐγκαλῶν σε,
ὡσαύτως καὶ τὰς ἄντικρυς ἀπολογίας πάσας
τὰς τοῦ ἑτέρου μέρους ἐκδικῶν μὴ παροράσῃς πάλιν,
ἀλλὰ ταχέως γράφε (2) προσεχῶς καὶ βλέπε τὰ πρακτέα.
Ὁ γὰρ Ψελλὸς ὁ σοφιστὴς κατέγραψεν τὴν δίκην,
καὶ κρίσιν ἀπεφήνατο πτωχοῖς τε καὶ πλουσίοις,
καὶ λίβελλον ἀντέγραψεν ἐν δίκῃ ὅρκον κρίνας·
ὡσαύτως καὶ σύ μου δέσποτα προσέχων τοῖς δικαίοις,
τὴν λύσιν δίδου τοῖς λαοῖς πᾶσιν ἀδικουμένοις·
ὁ γὰρ ἀδικούμενος ζητεῖ τὴν κρίσιν πάντα,
ὁ δὲ τὸ ἄδικον ποιῶν τῆς κρίσεως ἐκφεύγει·
σὺ δὲ ὡς δίκαιος κριτής, στενεύων ἀμφοτέρους
παράστησον τὸν ἔλεγχον ἄντικρυς τοῦ ἑτέρου,
ὅπως φανῇ τὸ δίκαιον τοῦ ἐπιζητουμένου,

(1) πλεονάζει τὸ πάντων.
(2) πλεονάζει τὸ γράφε· διορθούσθω δέ, ἀλλὰ ταχέως πρόσεχε.

καὶ δὸς τὸ δίκαιον αὐτοῖς καθὼς ἁρμόζει δίκαιον (1)·
ὅτι πτωχὸς εἰς κρίσιμον οὐδόλως παροράται,
ἀλλ' οὐδὲ πλούσιος ποτὲ λαμβάνει δίκαιον ἄλλου·
τοῦτο διώρισται παντὸς εἰς κρίσιν τὴν δικαίαν·
σὺ δὲ κριτὰ καθήμενος ἀκούων (2) τὰς ἐγκλήτους,
συντόμως δὸς τοῖς θλίβουσιν πληρῶν πάντων αἰτήσεις,
ἵνα θεὸς ἀνάξῃ σε εἰς δόμους οὐρανίους
καὶ τὴν χαρὰν ἀένναον τρυφὴν τοῦ παραδείσου.

Περὶ συνηγόρων.

Ὁρίζου πάλιν, δέσποτα, καὶ τοὺς ἐκταγιακτικούς σου,
οὓς λέγει ἡ ἐπίδειξις συνήγοροι καλοῦνται,
μὴ πρότερον ἐμβάλλοντες τῆς δίκης τὰ ρητέα,
εἰ μὴ σφραγίσωνται λοιπὸν σταυρὸν τὸν τοῦ Κυρίου
καὶ οὕτως ἄρξονται λαλεῖν, συνηγορεῖν τῇ κρίσει
προσέχοντες, ἀμφότεροι (3) τὰ μέρη ἐκδικοῦντες,
μὴ δῶρα λάβωσιν αὐτοὺς ἐκ μέρους ἐμφοτέρων
καὶ βλάψωσιν τὰ μέρη τους ψυχῆς ἀντιποιοῦντες.
ὅτι θεός ἐστιν (4) ἐκδικητὴς τοὺς πανουργοῦντας πάντας,
προσέχων τὰ ἐγκάρδια καὶ λογισμοὺς ἀνθρώπων,
καὶ τὴν ἀντίδοσιν διδοὺς τοὺς κακοπραγμονοῦντας.

Ἀπ' ἐδῶ ἄρχουνται ἡ κρίσεις τῶν λιβέλλων.

φ. 10. | Ἀρχὴ τῶν λιβέλλων· οὗ ἡ ἀρχὴ περὶ τοὺς ἔχοντας μνῆστρα καὶ ἀποστρέφονται τὸν γάμον.

Α. Ἔρχεται ὁ συνήγορος καὶ παρίσταται ἔνπροσθεν τοῦ κριτοῦ, ἢ καὶ τοῦ ἀρχιερέως, καὶ λέγει οὕτως « δέσποτα, ἔνπροσθεν

(1) γραπτέον, δίκῃ. (2) γραπτέον, ἀκούειν.
(3) γραπτέον, ἀμφότερα. (4) πλεονάζει τὸ ἐστιν.

τῆς ἁγιωσύνης σου παρίσταται ἡ δεῖνα (ὡς κἂν ἀκούῃ, λέγε τὸ ὄνομάν της), καὶ ἐγὼ ἡ βουλή της μετ' αὐτῆς, καὶ πολεμεῖ τὴν ἁγιωσύνην σου νὰ ἐγνωρίζῃς ὅτι ὁ δεῖνα ἄνθρωπος ἔλαβεν μνῆστρον μετ' αὐτῆς μετὰ ἱερέως καὶ ἀξιολόγων ἀνδρῶν μαρτύρων, τανῦν δὲ ἀποστρέφεται καὶ οὐ βούλεται ἐκπληρῶσαι μετ' αὐτὴν τὴν τελείαν ἱερολογίαν· διὰ τοῦτο δέεται τὴν ἁγιωσύνην σου νὰ ὁρίσῃς νὰ τὸν τάξουν εἰς ἡμέραν τακτὴν νὰ ἔλθῃ νὰ ἀπολογηθῇ ».

Εἶτα ὁρίζει ὁ κριτὴς νὰ τὸν τάξουν· καὶ ἀνὲν καὶ ἔλθῃ ἅπαὶ τὸ πρῶτον τάξιμον, δόξα σοι ὁ θεός, καὶ ἂς γράψουν τὸ τάξιμον, εἰ δὲ καὶ οὐκ ἔλθῃ, ἂς τὸν τάξουν τὸ δεύτερον καὶ ἂς γράψουν καὶ αὐτό· ὁμοίως καὶ τὸ τρίτον, καὶ ἐὰν οὐδὲ τὸ τρίτον ἔλθῃ, ἂς τὸν ἀφορίσῃ ὁ κριτὴς ὡς φυγόδικον. Εἰ δὲ καὶ ἔλθῃ, ἂς σταθῇ (1) ὁ ἀβουκάτος μὲ τὸ κοράσιν, καὶ ἂς καταλέξῃ τὸ ἀγκάλεμαν, ὡς ἔνε ἐπάνω ἐγράφως· εἰ δὲ καὶ ζητήσει λίβελλον, ἂς ἐπάρῃ ὁ ἀβουκάτος ἡμέραν νὰ δώσῃ λίβελλον ἔγγραφον οὕτως. Λίβελλος· « ἔμπροσθεν ὑμῶν πανιερώτατε καὶ θεοτίμητε ἐπίσκοπε Ἀρσενόης κῦρι δεῖνα, πρόεδρε πόλεως καὶ ἐνορίας Πάμφου, παρισταμένη κἀγὼ δεῖνα θυγατέρα τοῦ δεῖνα, μνηστὴ γεναμένη τοῦ δεῖνα, προβάλλομαι καὶ λέγω κατὰ τοῦ δεῖνα καὶ μνηστοῦ μου, ὡς ὅτι προλαβὼν ἔλαβεν μετ' ἐμοῦ μνῆστρα μετὰ ἱερέως, παρόντων καὶ ἀξιολόγων ἀνδρῶν, τανῦν δὲ ἀποστρέφεται τὰ τοιοῦτα μνῆστρα καὶ οὐ βούλεται πληρῶσαι τὴν τελείαν ἱερολογίαν μετ' ἐμοῦ καθὼς ἀπαιτεῖ τὸ δίκαιον, ἀλλὰ διαβάζει με ἡμέρᾳ τῇ ἡμέρᾳ, ὡς ἀποφεύγων τοῦ δικαίου. Ὅθεν αἰτῶ τὴν ὑμῶν ἁγιότητα ὡς ἵνα στενεύσῃς αὐτὸν ἐκκλησιαστικῶς, καὶ ἀποφανθικῶς ὁρίσῃς τὸν προρρηθέντα δεῖνα καὶ μνηστόν μου τοῦ ἐλθεῖν καὶ πληρῶσαι τὴν τελείαν ἱερολογίαν μετ' ἐμοῦ, καθὼς ὁρίζουν οἱ θεῖοι κα-

(1) χειρ. ἀσταθή.

νόνες. Ταῦτα δὲ λέγω σωζομένου τοῦ δικαίου, καὶ τὰ ἑξῆς, προβάλλομαι δὲ τοῦ αὐξῆσαι καὶ ἐλαττῶσαι ».

Ὀφείλεις δὲ γράψειν λιβέλλους τρεῖς, τὸν ἕνα ἔχεις τον ἐσοὺ ὁ ἀβουκάτος, τὸν δὲ ἄλλον δίδεις τον εἰς τὸν νοτάριον τῆς αὐλῆς, τὸν δὲ τρίτον διδοῖ τον ὁ κριτὴς τοῦ ἀντιδίκου μέρους. Τὸ δὲ ἄλλο μέρος μετὰ τὸ λαβεῖν τὸν λίβελλον ζητεῖ ἡμέραν τῆς σκέψεως, ἐὰν χρεωστῇ νὰ ἀπολογηθῇ. Καὶ ὁ κριτής, οἷος δ' ἂν καὶ ἂν ἔνῃ, ὁρίζει οὕτως « Γράψαι, νοτάρις, ὅτι διδῶ του ἡμέρας δ' τῆς σκέψεως ». Καὶ ὁ νοτάριος γράφει ὀπίσω τοῦ λιβέλλου « Τὴν ἡμέραν τὴν δεῖνα εἰς τὰς ἔτοσας τοῦ μηνὸς προσεκομίσθη ὁ παρὼν λίβελλος, καὶ ἐδόθη ἡμέρα τῆς σκέψεως τοῦ ἑτέρου μέρους μέχρι καὶ τὴν δεῖνα ἡμέραν, ἥτις ὑπάρχει εἰς τὰς τόσας ἡμέρας τοῦ αὐτοῦ μηνός ».

Πάλιν ἐκείνην τὴν ἡμέραν ὅταν ἔλθῃ ὁ καιρὸς τῆς προθεσμίας, ἤγουν τὸ λέγουν τάρμε, ἔρχεται ὁ ἀντίδικος ἔνπροσθεν τοῦ κριτοῦ καὶ λέγει· « Παρακαλῶ σε, δέσποτα, ὅτι νὰ ὁρίσῃς νὰ μοῦ δώσῃς ἡμέραν νὰ δώσω κατὰ τοῦ λιβέλλου ὃν ἐπερίλαβα ἀπὸ τὴν δεῖνα πάντα τὰ δικαιώματά μου ». Καὶ ὁ κριτὴς λέγει τοῦ νοταρίου « Γράψαι ὅτι διδῶ του ἡμέραν, ἄλλας δ' ἡμέρας, νὰ δώσῃ τὰ δίκαιά του. » Καὶ κατὰ τὴν ἡ-
φ. 11. μέραν ἣν ἔχει | ἔρχεται ὁ ἀντίδικος καὶ φέρνει ἐγγράφως, λέγων οὕτως·

Δεύτερα δίκαια. « Κατὰ τοῦ λιβέλλου τοῦ προσκομισθέντος παρὰ τῆς δεῖνα τῆς λεγομένης μνηστῆς μου κατ' ἐμοῦ δεῖνα, ἐν πρώτοις μου δικαιώμασιν ἀπολογοῦμαι κἀγὼ ὁ δεῖνα καὶ λέγω, ὡς ὅτι οὐδὲν ὀφείλει (1) τοῦ ἀπολογηθῆναι αὐτῆς ἐν τῷ κατ' ἐμοῦ παρ' αὐτῆς δοθέντι λιβέλλῳ, διὰ τὸ ὑπάρχει σκοτινὸς καὶ ἀνωφελής· ἐν τῷ λέγει, ὅτι ἔλαβα μνῆστρα μετ' αὐτῆς, καὶ οὐδὲν καθαρίζει οὔτε τὴν ἡμέραν, οὔτε τὸν καιρόν,

(1) γραπτέον, ὀφείλω.

οὔτε τὴν προθεσμίαν τοῦ γάμου· λέγω ὅτι σκοτινὸς ὑπάρχει ὁ παρ' αὐτῆς δοθεὶς λίβελλος, καὶ οὐδὲν ὀφείλω τοῦ ἀπολογηθῆναι αὐτῆς, ἀλλ' οὔτε ὅταν τὸ καθαρίσῃ, ὀφείλω τοῦ ἀπολογηθῆναι αὐτῆς, ὅτι οὔπω ἔφθασεν ὁ καιρὸς τῆς προθεσμίας τοῦ γάμου, καθὼς λέγει ὁ κανὼν τῶν ἁγίων βασιλέων ἐν τῷ λγ' τίτλῳ τοῦ ι' βιβλίου τοῦ κώδικος, ὅτι « ὁ πρὸ τῆς προθεσμίας ἐνάγων οὐκ εἰσακουσθήσεται εἰς κρίσιν » · διὰ τοῦτο ἔλεξα καὶ λέγω ὅτι, οὐδὲ ὅταν τὸν καθαρίσῃ τὸν λίβελλον αὐτῆς, ὀφείλω τοῦ ἀπολογηθῆναι αὐτῆς ».

Καὶ δίδεται τὰ παρόντα δίκαια εἰς τὴν αὐλήν, καὶ γράφει ὁ νοτάριος « τὸ πῶς ἔδωκεν τὸ ἀντίδικον μέρος τὰ δίκαιά του τὴν δεῖνα ἡμέραν ».

Καὶ τὸ ἕτερον μέρος πάλιν ζητεῖ ἡμέραν νὰ σηκώσῃ τὸν λίβελλόν της· καὶ ὁ κριτὴς ὁρίζει καὶ γράφουν, καὶ διδοῖ ἄλλας δ' ἡμέρας τοῦ μέρους τῆς γυναίκας νὰ καθαρίσῃ τὸν λίβελλον αὐτῆς. Καὶ μετὰ τὴν προθεσμίαν ἔρχεται τὸ μέρος τῆς γυναικὸς ἐγγράφως καὶ λέγει οὕτως·

Τρίτα δίκαια. « Κατὰ τῶν δικαιωμάτων τῶν προσκομισθέντων (1) παρὰ τοῦ κυροῦ δεῖνα καὶ μνήστου μου τῷ (2) λέγει ὅτι ὁ ἡμέτερος λίβελλος ὑπάρχει σκοτινός, οὐκ οἶδεν τί λέγει, ἀλλὰ καὶ κακῶς ἐπενόησεν τὸν ἡμέτερον λίβελλον, ὅτι ὁ ἡμέτερος λίβελλος ὑπάρχει ὅλως καθαρὸς καὶ φωτινὸς ὅλος· περὶ δὲ ὧν λέγει ὅτι οὐδὲν ἐκαθάρισα τὴν ἡμέραν καὶ τὸν καιρὸν τῆς μνηστείας, κακῶς νοεῖ αὐτόν, ἐπεὶ λέγω ὅτι ἔλαβα μνῆστρα μετὰ ἱερέως καὶ ἀξιολόγων ἀνδρῶν, οὐδὲν ἔχω ἄλλην καθάρισιν· ἀλλὰ μὴ εἰδὼς ὃ λέγει ὁ λίβελλος, ἄλλως ἐξ ἄλλου διαλέγεται· διὰ τοῦτο ἔλεξα καὶ λέγω, ὅτι ὁ ἡμέτερος λίβελλος ὑπάρχει φωτινὸς καὶ καθαρός, καὶ ὀφείλει τοῦ ἀπολογηθῆναί

(1) χειρ. προσκομισθέντος.
(2) γραπτέον, τά.

μοι· δι' ὃν ἀνάθωμαι εἰς τὴν ὑμετέραν ἁγιότητα καὶ αἰτῶ μέσην ἀπόφασιν.»

Καὶ πάλιν ὁ κριτὴς ἐρωτᾷ τὴν ἄλλην μεραιάν, «ἐὰν θέλῃ νὰ εἰπῇ ἄλλο τίποτες ἀγράφως, ἢ ἐγγράφως, καὶ ἂν θέλῃ καὶ ὁ αὐτὸς νὰ τὸ θέσῃ εἰς τὴν αὐλή». Καὶ ἀπολογᾶται οὕτως «ὅτι καὶ ἐγὼ θέτω το εἰς τὴν αὐλήν».

Καὶ μετὰ τὸ θέσειν καὶ τὸ ἄλλο μέρος εἰς τὴν αὐλήν, διδοῖ ὁ κριτὴς ἡμέραν «ἐλᾶτε τὴν δεῖνα ἡμέραν νὰ ἀκούσετε μέσην ἀπόφασιν». Καὶ γράφει τὴν ἡμέραν τῆς μέσης ἀποφάσεως ὁ νοτάριος.

Καὶ κατὰ τὴν ἡμέραν τῆς ἀποφάσεως ἔχει ὁ κριτὴς τὴν ἀπόφασιν, καὶ ἀναγινώσκει την παρουσίᾳ πάντων οὕτως.

Ἡ μέση ἀπόφασις. «Ἐπὶ τῇ ὑποθέσει τῶν ἀμφοτέρων μερῶν, τουτέστι τῆς δεῖνα θυγατρὸς τοῦ δεῖνα ἀπαὶ τὸ ἓν μέρος, καὶ τοῦ δεῖνα ἀνδρὸς ἀπαὶ τὸ ἕτερον μέρος, ἡμεῖς δεῖνα ἐλέῳ θεοῦ ἐπίσκοπος Ἀρσενόης, πρόεδρος πόλεως καὶ ἐνορίας Πάφου, σκέψαντες τὰς πράξεις αὐτῶν ἀκριβῶς, ἔχοντες δὲ καὶ βουλὴν μετὰ λογίμων ἀνδρῶν, ἀποφήνομεν ἐγγράφως, καὶ διὰ μέσης ἀποφάσεως ὁρίζομεν οὕτως· ὅτι ὁ λίβελλος τῆς δεῖνα
φ. 12. ὑπάρχει καθαρός, | ἄνευ δόλου καὶ κακίας, καὶ ὁρίζομεν τὸν δεῖνα τοῦ ἀπολογηθῆναι εἰς τὸν λίβελλον τῆς κυρᾶς δεῖνα».

Καὶ εὐθὺς ὁ νοτάριος γράφει ὄπισθεν ἐκεῖ ὁποῦ ἐγράφη ἡ μέση ἀπόφασις οὕτως «μηνὸς δεῖνα, ἡμέρας δεῖνα, ἐγράφη, ἐκηρύχθη ἡ παροῦσα μέση ἀπόφασις, παρόντων τοῦ δεῖνα καὶ δεῖνα (καὶ γράφει τὰ ὀνόματα τῶν μαρτύρων ὁποῦ εὑρίσκουνται ἐκεῖ)».

Καὶ ἀπ' ἐκείνην τὴν ἡμέραν ἕως ἡμέρας ι' οὐδὲν σκαλεύει ὁ κριτής, ἀνμὲ ἐκδέχεται νὰ διαβοῦν ἡ ἡμέραις ι', καὶ τὸ ἀντίδικον μέρος, ἂν θέλῃ ἔσω τῶν ι' ἡμερῶν, ποιεῖ κράξιμον εἰς μεγαλότερον κριτήν, ἢ εἰς τὸν ἐπίσκοπον τὸν λατῖνον, ἢ εἰς τὸν ἀρχιεπίσκοπον τῆς Λευκουσίας, ἢ εἰς τὸν Πάπαν. Καὶ ἀ-

φὸν διαβοῦν ἡ ι' ἡμέραις, ἔξω τῆς ἡμέρας ὁποῦ ἐδόθη ἡ ἀπόφασις, ἔρχεται καὶ τὸ ἓν μέρος καὶ τὸ ἄλλο ἔνπροσθεν τοῦ κριτοῦ, καὶ ἐκεῖνος τὸν ἐκατεκρίνασιν εἰς τὴν ἀπόφασιν κρατεῖ τὴν δίκην, λέγων οὕτως διὰ τοῦ ἀβουκάτου « Ἀρνοῦμαι (ἀρνεῖται τὰ λεγόμενα ὡς λέγουνται) καὶ λέγω τὰ αἰτούμενα οὐκ ὀφείλουσιν πληρωθῆναι, καὶ αἰτῶ τὰς ἀποδείξεις ».

Καὶ εὐθὺς τὸ Εὐαγγέλιον, καὶ ὀμνύουσιν καὶ οἱ δύο· καὶ ἡ μὲν γυναῖκα ὀμνύει οὕτως « ὅτι ἐσοὺ ὀμνύεις ὅτι τοῦτα τὰ προβάλλεις εἰς τὸν λίβελλόν σου, δίκαια καὶ πιστὰ τὰ προβάλλεις, καὶ ἐὰν ἔνε χρῆσις νὰ φέρῃς μάρτυρας οὐδὲ νὰ τοὺς παρακαλέσῃς, οὐδὲ νὰ τοὺς ξενιάσῃς; οὕτως νὰ σοῦ βοηθήσῃ ὁ θεὸς καὶ τὰ ἅγια Εὐαγγέλια! » Ὁμοίως ὀμνύει καὶ τὸ ἄλλο μέρος « ὅτι ἐσοὺ ὀμνύεις εἰς τὰ ἅγια τοῦ θεοῦ Εὐαγγέλια, ὅτι ἀπαὶ τοῦτο τὸ σοῦ ἐγκαλέουν, δίκαια καὶ πιστὰ διαφεντεύγεσαι, καὶ ἐὰν ἔνε χρῆσις νὰ φέρῃς μάρτυρας, οὐδὲ νὰ τοὺς παρακαλέσῃς, οὐδὲ νὰ τοὺς ξενιάσῃς, ἀλλ' οὐδὲ νὰ τοὺς τακτῇς, ἀμμὲ νὰ τοὺς φέρῃς δίκαια καὶ πιστά; οὕτως νὰ σοῦ βοηθήσῃ ὁ θεὸς καὶ τὰ ἅγια Εὐαγγέλια! »

Καὶ ὁρίζει ὁ κριτὴς ἐκεῖνον ὁποῦ ἐγκαλέει νὰ ποιήσῃ προβάλματα· καὶ τὰ προβάλματα ἐβγάλει τα ἀπαὶ τὸν λίβελλον οὕτως·

« Προβάλλομαι κἀγὼ ἡ δεῖνα ἐπάνω εἰς τὸν ὅρκον μου ἔτι, ὅτι ἔλαβα μνῆστρα μετὰ τοῦ δεῖνα. Ἔτι, ὅτι καὶ τὰ μνῆστρα ἅπερ ἔλαβα μετ' αὐτοῦ ἔλαβά τα μετὰ ἱερέως καὶ ἀξιολόγων ἀνδρῶν. Ἔτι, ὅτι ἔχει τὴν σήμερον ἡμέραν χρόνον, ἢ πλέον, ἢ παρκάτω (καὶ γράφε ὅσον καιρὸν ἔχει). Ἔτι, ὅτι καὶ τοῦτο δικαίως ἐγκαλῶ καὶ ζητῶ ».

Καὶ διδομένων τῶν παρόντων (1) προβαλμάτων, λέγει ἡ γυναῖκα « ταῦτα πάντα προβάλλομαί τα ἐπάνω εἰς τὸν ὅρκον μου ».

(1) χειρ. παρόν.

Τὸ δὲ ἄλλο μέρος ἐρωτᾶται κεφάλαιον πρὸς κεφάλαιον ἕνα ἕκαστον· καὶ οὕτως ἔχει ὁ κριτὴς βουλήν· καὶ ἐὰν ὁμολογήσῃ, δόξα τῷ θεῷ, εἰ δὲ ἀρνηθῇ, διδοῖ τῆς γυναίκας τὰς ἀποδείξεις καὶ ἡμέραν τῆς πρώτης προφέρσεως ἡμέρας η'. Τὸ δὲ ἀντίδικον μέρος διδοῖ τὰ ἐρωτήματα.

Εἶτα ἔρχουνται οἱ μάρτυρες, καὶ ὀμνύουν οὕτως « Ἐσὺ ὀμνύεις εἰς τὰ ἅγια τοῦ θεοῦ Εὐαγγέλια ἀπαὶ τὸ σὲ θέλομεν ἐρωτήσειν νὰ εἴπῃς τὴν ἀλήθειαν; νὰ μηδὲ ὡς διὰ ξένιν (1) τὸ ἐπῆρες, ἢ τὸ σοῦ ἐτάκτησαν, ἢ διὰ παρακάλεσιν, ἢ ὡς διὰ φιλίαν, ἢ ὡς διὰ μῖσος, νὰ μηδὲν ἀφήσῃς, νὰ μηδὲν εἰπῇς τὴν ἀλήθειαν; οὕτως νὰ σοῦ βοηθήσῃ ὁ θεὸς καὶ τὰ ἅγια Εὐαγγέλια! »

φ. 13. | Καὶ ὀμνύουν οἱ μάρτυρες οἱ εὑρισκόμενοι καὶ ὅσους τάξουν, καὶ τὸ ἐρώτημα ἕνε οὕτως. « Προβάλλεται ἡ δεῖνα ὅτι ἔλαβεν μνῆστρα μὲ τὸν δεῖνα ἄνθρωπον; » Καὶ ἂν ἀποκριθῇ ἐκεῖνος ὅτι « οὐδὲν τὸ ἠξεύρω, οὐδὲ ἤμουν ἐκεῖ », ἐρωτᾷ τον ὁ κριτὴς « οὐδὲ ἤκουσές το; » Καὶ ἐὰν καὶ ἀρνηθῇ καὶ αὐτὸ, ἄφες τον καὶ ἂς ὑπάγῃ· εἰ δὲ ἀποκριθῇ « ἀλήθεια ἔλαβεν μνῆστρα μετ' αὐτῆς », ἐρωτᾷ τον ὁ κριτὴς « καὶ πῶς τὸ ἠξεύρεις; » Ἀπολογᾶται ὅτι « ἤμουν ἐκεῖ σωματικῶς ». Καὶ πάλιν λέγει « ἡ δεῖνα, ὅτι τὰ μνῆστρα ἅπερ ἔλαβεν, ἔλαβέν τα μετὰ ἱερέως καὶ ἀξιολόγων ἀνδρῶν καὶ μαρτύρων; » καὶ αὐτὸς ἀποκρίνεται « ἀλήθεια ». Καὶ λέγει ὁ κριτὴς « καὶ ποῖος ἱερεὺς ἦτον; » καὶ ὁ μάρτυς « ὁ δεῖνα ἱερεὺς (καὶ αὐτὸς ἀποκρίνεται τὸν ἱερέαν καὶ τὸ ὄνομα αὐτοῦ) ». Πάλιν ἐρωτᾷ τον « καὶ τίς ἦσαν οἱ μάρτυρες; » καὶ αὐτὸς λέγει « ὁ δεῖνα καὶ ὁ δεῖνα ». Καὶ πάλιν λέγει ὁ κριτὴς « πόσον καιρὸν ἔχει; » καὶ αὐτὸς ἀποκρίνεται καὶ τὸν καιρὸν καὶ τὴν ἡμέραν. Καὶ πάλιν λέγει ὁ κριτὴς ὅ, τι λέγει ἡ γυναῖκα « ὅτι δικαίως ζητεῖ τὸν δεῖνα ὡς ἄνδραν της; » καὶ αὐτὸς ἀποκρίνεται ὅτι « δίκαια ζητᾷ ἡ γυναῖκα ».

(1) χειρ. ξένην.

Καὶ ταῦτα πάντα γράφει ὁ νοτάριος λόγον πρὸς λόγον οὕτως ὡς τὸν ἐρωτοῦν τὸν μάρτυραν ἔνπροσθεν τοῦ κριτοῦ. Καὶ οὕτως ἐρωτοῦνται οἱ ὅλοι μάρτυρες καὶ γράφουνται.

Καὶ μετὰ τοῦτο ἀναγινώσκουνται οἱ μάρτυρες, καὶ ἐὰν θέλῃ ἡ ἄλλη μεραία ἐπαίρνει τὸ ἴσον τῶν μαρτυριῶν· ἐπαίρει καὶ παρὰ τοῦ κριτοῦ νὰ εἰπῇ κατὰ τοὺς μάρτυρας, καὶ τὸ θέλει νὰ εἰπῇ ἔνε τοῦτο « ἐὰν οὐδὲν ἔνε οἱ μάρτυρες ἄξιοι, ἀνὲν καὶ ἔνε πτωχοὶ νὰ μηδὲν ἀξιάζῃ τὸ ἐδικόν τους πέρπυρα ν' χρυσᾶ, ἐὰν ἔνε πορνικοί, ἐὰν ἔνε δυσώρριδοι, ἐὰν ἔνε ζαριστάδες, ἢ ἐὰν ἐφάνησαν εἰς ἄλλον τόπον ἐπίορκοι, ἢ ηὗρέν τους ἡ αὐθεντία εἰς κακὸν καὶ ἐκηβέντισέν τους ».

Καὶ ἐὰν εἴπῃ κατ' αὐτόν, ἔχει τὸ ἕτερον μέρος ἄδειαν νὰ ἐπάρῃ ἡμέραν νὰ σηκώσῃ τοὺς μάρτυρας, νὰ δείξῃ ὅτι τοιοῦτοι ἄνθρωποι ἔνε δίχως κανμίαν ἀφορμήν. Καὶ οὕτως διδοῖ ὁ κριτὴς ἡμέραν τοῦ πληρεστάτην ἀπόφασιν ἀκοῦσαι· καὶ εἰς τὴν ἡμέραν ἔχει ὁ κριτὴς βουλὴν καὶ διδοῖ ἐγγράφως τὴν ἀπόφασιν οὕτως. Πρότερον γράφει ὁ νοτάριος:

Ἀπόφασις πληρεστάτη· « ἔνπροσθεν ἐμοῦ τοῦ νοταρίου καὶ μαρτύρων τῶν κάτωθι δηλωθησομένων ὁ πανιερώτατος καὶ θεοτίμητος ἐπίσκοπος Ἀρσενόης, πρόεδρος πόλεως καὶ ἐνορίας Πάφου ἔκδωκεν πληρεστάτην ἀπόφασιν περιέχων οὕτως:

« Γινωσκέτωσαν πάντες οἱ τὴν παροῦσαν πληρεστάτην ἀπόφασιν ἀναλαβόντες καὶ ἀκούσαντες ὅτι ἡμεῖς δεῖνα ἐλέῳ θεοῦ ἐπίσκοπος Ἀρσενόης, πρόεδρος πόλεως καὶ ἐνορίας Πάφου, γνωρίσαντες ἀπὸ τὴν ὑπόθεσιν τῶν μνήστρων τῶν γεναμένων ἀναμεταξὺ τῆς δεῖνα καὶ τοῦ δεῖνα, οὗτινος ὁ δεῖνα λίβελλος ἐδόθη κατὰ τοῦ δεῖνα εἰς πληρεστάτην δίκην περιέχων οὕτως (εἶτα ἂς ἀναγνώσῃ ὁ νοτάριος τὸν λίβελλον ὁποῦ ἐδόθην εἰς τὴν αὐλήν, καὶ πληρουμένου, λέγει ὁ κριτής) δίκης καρτηθείσης νομίμου εἰς αὐτό, ὅρκων γενομένων τοῦ εἰπεῖν τὴν ἀλήθειαν, ἐρωτήσεων καὶ ἀποκρίσεων κεφαλαίων δοθέντων, μαρ-

τύρων προσκομισθέντων, δι' ὅρκων στενευθέντων, καὶ τὰ παρ' αὐτῶν ῥηθέντα πιστῶς γραφέντα καὶ διὰ συγκαταθέσεως τῶν μερῶν ἀναγνωσθέντα παρὰ τῶν ἀμφοτέρων μερῶν, καὶ κηρυχθέντα καὶ πολλάκις τραχταϊσθέντα παρὰ τῶν ἀμφοτέρων μερῶν, ὕστερον ἀσφαλίσαντο τὴν δίκην καὶ αἰτήσαντο τὴν ἀπό- φ. 14. φασιν, καὶ ἐδόθη | ἡμέρα τοῦ πληρεστάτην ἀπόφασιν ἀκοῦσαι· ἧς ἡμέρας κρεμμαμένης, ἐρευνήσαντες τὰς πράξεις αὐτῶν ἀκριβῶς, ἔχοντες δὲ καὶ βουλὴν μετὰ λογίμων ἀνδρῶν, ἀποφήνομεν ἐγγράφως καὶ διὰ πληρεστάτης ἀποφάσεως ὁρίζομεν οὕτως ὡς ὅτι τὴν ἔννοιαν αὐτῆς ἡ δεῖνα δικαίως ὑπέδειξεν ἡμῖν· ὅθεν κατακρίνοντες τὸν δεῖνα ὅτι δύναται πληρῶσαι μετὰ τῆς δεῖνα πληρέστατον γάμον, διά τοι (1) τοῦτο ὁρίζομεν ἀμφοτέρους τοῦ συνζευχθῆναι καὶ πληρῶσαι τὸν τέλειον γάμον, καθὼς τὸ δίκαιον ἀπαιτεῖ ».

Ἐγράφει ὁ νοτάριος « ἐγράφη, ἀνεγνώσθη, ἐκηρύχθη εἰς τὸν δεῖνα ἐκκλησία, μηνὸς δεῖνα, ἡμέρα καὶ ἔτος, παρόντος τοῦ δεῖνα καὶ δεῖνα καὶ δεῖνα ».

Καὶ καρτερεῖ ὁ κριτὴς τὴν ἀπόφασιν μέχρι ἡμέρας ι'. καὶ ἂν θέλῃ τὸ ἄλλο μέρος, κράζει, εἰ δὲ οὐ θέλει, μένει ὁ κριτής· καὶ πληρουμένων τῶν δέκα ἡμερῶν, σώζεται ἡ ἀπόφασις καὶ βάλλεται εἰς νομήν· καὶ γράφει ὁ νοτάριος καὶ διδει τὴν ἀπόφασιν εἰς ὅ, τι μέρος τὴν ζητήσει, ἐξαιρέτως τῆς γυναίκας. Καὶ οὕτως μένουν.

Β. Περὶ τῶν μνήστρων καὶ λύσεων αὐτῶν.

(λέγει βιβλίον κγ', τίτλος α', διάταξις ις'.)

α. Μνηστεία ἐστὶν μνήμη καὶ ἐπαγγελία τῶν μελλόντων γαμεῖσθαι, τουτόδηλον ἐνθύμιος καὶ παραγγελία ὅτι ἔνε ὁ ἀν-

(1) χειρ. τι.

θρωπος μεμνηστευμένος, ἤγουν συνζευγμένος μετὰ τῆς γυναικός.

Καὶ ἐγράφως καὶ ἀγράφως μνηστεία γίνεται.

β. Μνηστεύεταί τις καὶ παρὼν εἰς τὸν τόπον δι' αὐτοῦ, καὶ διὰ ἄλλου, καὶ δι' ἐπιστολῆς, ἤγουν ποιοῦντα ὅρκον δικαίου τοῦ ἀποστείλαντος ἐὰν ἔχει ἐξ αὐτοῦ τὴν ἐξουσίαν.

γ. Ἐὰν μνηστευθῇ ἄνθρωπος γυναικός, καὶ γινώσκει ὅτι ἔνε ἄλλης γενεᾶς ἢ πίστεως, οὐ δύναται μεταμεληθεὶς ἀνατρέψαι τὴν μνηστείαν ὡς γινώσκων πρότερον.

δ. Παρὰ γνώμην τῆς ὀρφανῆς, ἤγουν ἔξω ἀπαὶ τὸ θέλημάν της, οὐδὲν δύναται νὰ μνηστευθῇ μετ' αὐτῆς.

ε. Ἐὰν ἔχω θυγατέρα καὶ ἔνε ὑπεξουσία μου καὶ ὑπάγῃ ἡ κόρη μου καὶ μνηστευθῇ ἀνθρώπου ἄνευ τῆς βουλῆς μου, λέγει ὁ κανὼν « ἐπεὶ ὑπ' ἐξουσίᾳ εὑρίσκεται ἡ κόρη, εἴ τι ἐποίησεν οὐδὲν ἐξιάζει ».

ϛ. Εἰ δὲ ἔνε ἡ κόρη αὐτεξουσία καὶ εὑρεθῇ ὅτι ἔνε ἐτῶν ζ', ἡ μνηστεία ἐξιάζει, ἀνμὲ γάμον οὐ συνίστησι.

ζ. Ἐὰν ἔτι ζῶν ὁ πατὴρ ἐμνηστεύσατο τὴν θυγατέραν αὐτοῦ, ἤγουν εὐχὴν καὶ ἀσπασμόν, οὐδὲν ἔχει ἐξουσίαν ὁ ἐπίτροπος τοῦ πατρὸς αὐτῆς μετὰ θάνατον τοῦ πατρὸς αὐτῆς τοῦ ἀνατρέψαι τὰ μνῆστρα, ἀλλὰ μένουν ἀδιάσπαστα, ἐὰν καὶ θέλῃ ἡ κόρη.

η. Δίχως νὰ ἠξεύρῃ ἡ κόρη, ἢ τὸ παιδὶν ὁποῦ μέλλουν νὰ λάβουν τὰ μνῆστρα, ἤγουν τὴν εὐχὴν καὶ τὸν ἀσπασμόν, οὐδὲν ἐξιάζουν ὅσα γενοῦν εἰς αὐτούς.

θ. Τὴν παρκάτω τῶν ιβ' ἐτῶν οὐ δύναται ἐξιάζει ἡ ὁρμασία, ἂν μὴ καὶ γένεται γάμος εἰς αὐτοὺς μνηστεία λογίζεται.

ι. Οἱ ἐπίτροποι οὐ δύναται ὁρμαστεῖν μὲ τὰς ὀρφανὰς ὁ ἐπιτροπεύουν ἐπάνω τους.

ια. Ἀλλ' οὔτε δύναται νὰ τὴν ὁρμάσῃ μὲ τὸ παιδίν τους. Τὸ αὐτὸ καὶ περὶ εὐχῆς καὶ ἀσπασμοῦ.

φ. 15. | Ἀκομὴ καὶ ἂν θέλῃ νὰ τῆς δώσῃ καὶ δωρεάν, ἤγουν κανίσκιν, οὐδὲν ἐξιάζει, καθὼς λέγει βιβλ. ι, τίτλος ϛ', διάταξις α'.

Εἰ δὲ καὶ ὁ ἐπίτροπος λάβῃ εἰς γυναῖκα τὴν ἐπιτροπευομένην ἐξ αὐτοῦ, ἐξορίζεται.

ιβ. Ὁποῦ ἐπάρῃ εὐχὴν καὶ ἀσπασμὸν μετὰ κόρης καὶ οὐδὲν συμφωνήσῃ ἕως πόσον καιρὸν νὰ γένεται ὁ γάμος, ἐὰν ἔνε ὁ ἄνθρωπος εἰς ἐκείνην τὴν χώραν, χρῆσιν ἔχει νὰ τελειώσῃ τὸν γάμον ἕως χρόνους δύο· εἰ δὲ καὶ οὐκ ἔνε εἰς τὴν χώραν ἐκείνην, χρῆσις νὰ ἀναμείνῃ ἕως χρόνους γ'· εἰ δὲ καὶ διαβῇ ἡ τριετία καὶ οὐδὲν ἔλθῃ νὰ πληρώσῃ τὸν γάμον, δύναται ἡ κόρη νὰ δείξῃ τοῦ ἀρχιερέως τὰ στοιχήματα, καὶ οὕτως νὰ ἔχῃ λύσιν νὰ ὁρμαστῇ μὲ ἄλλον.

ιγ. Πάλιν λέγομεν καὶ τοῦτο· ὅτι ἠμπορεῖ νὰ παραδιαβῇ καὶ ἕως δ' χρόνους, ἢ δι' ἀρρωστίαν, ἢ διὰ ἄλλην ἀφορμὴν εὔλογον, ἢ ἐξορίαν, ἢ ἔνε εἰς μακρὰν χώραν.

Ἂν ἐπέθανεν ὁ ἄνδρας τῆς γυναίκας καὶ οὐδὲν ἔνε ἀγγαστρωμένη ἐξ αὐτοῦ οὐδὲν κωλύεται ὁρμαστῆναι.

ιδ. Ὅτι ὡς διὰ τὸ ἐγγάστριν βλέπωμεν νὰ μηδὲν ὁρμαστοῦν ἡ χῆραις.

Πάλιν λέγομεν τὰ πένθη τῆς μάνας, ἢ τοῦ κυροῦ, ἢ ἄλλου ἐκ τοὺς ἀνιόντας, οὐδὲν κωλύουν νὰ ὁρμαστοῦν τὰ παιδιά τους.

ιε. Καὶ πάλιν λέγομεν ὅτι γυναῖκα ὁποῦ πενθεῖ τὸν ἄνδραν της καὶ γεννήσει παιδίον εἰς τὸν καιρὸν τοῦ πένθους, ἀκωλύτως ὁρμάζεται μὲ ἄλλον ἄνδρα, ὅτι τὰ πένθη τοῦ ἀνδρὸς βλέπομεν διὰ τὴν ἀνάμιξιν τῆς γονῆς, ὅτι ἤθελεν εἰστὲν ἀνήξευρον τὸ παιδίον ποίου ἀνδρὸς ἔνε, κἂν τοῦ πρώτου, κἂν τοῦ δευτέρου, καθὼς ὁρίζει βιβλ. γ', τίτλος β', διάταξις ιδ.

ιϛ. Ἐὰν μνηστὴ ἔλαβεν φιλοτιμίαν ἐκ τοῦ ἀνδρός, ἢ τοῦ μνηστοῦ αὐτῆς, χρεωστεῖ νὰ τὸν κλαίῃ ἀπὸ θανάτου ἕως μ' ἡμέρας, καὶ μετὰ τοῦτο νὰ ὁρμαστῇ ἄλλου ἀνδρός.

ιζ. Εἰ δὲ καταδικασθῇ ὁ μνηστὴρ εἰς θάνατον, οὐδὲν χρεωστεῖ ἡ μνηστευομένη νὰ κλαίῃ τὸν μνηστόν, ὅτι πᾶσα φιλοτιμία ἐχαώθη διὰ τὴν κατάκρισιν.

ιη. Ἐὰν μνηστὴ πορνευθεῖσα, κατηγορεῖ ὁ μνηστὴρ τὴν πορνείαν καὶ χωρίζεται.

ιθ. Οὐ χρὴ τοὺς ἄρχοντας, τουτέστι ἐκείνους ὁποῦ ἄρχουν εἰς ἐκείνας τὰς χώρας νὰ λάβουν γυναῖκας μνηστάς· δοκοῦσιν γὰρ δυναστικῶς λαμβάνειν ταύτας, ἢ διὰ τὸν φόβον, ἢ διὰ τὴν δυναστείαν, καὶ οὐκ ἔστιν εὔλογος ἡ μνηστεία.

κ. Τότε κωλύεται τὸ συνάλλαγμα ὅτε ἔστιν εἰς τὴν ἐξουσίαν· εἰ δὲ ἐβγῇ ἀπαὶ τὸ ὀφφίκιον τῆς ἐξουσίας, λαμβάνει καὶ μνῆστρα καὶ γάμον ὅτε βούλῃ.

κα. Χρεωστεῖ ἡ γυναῖκα νὰ μηδὲν ὁρμαστῇ, ἀνμὲ νὰ βλεπήσῃ τὸν πένθιμον χρόνον διὰ τὸ ἐγγάστριν.

κβ. Τότε πληροῦται ὁ πένθιμος καιρὸς ὅτε διαβῇ ὁ θάνατος τοῦ ἀνδρὸς μῆνας θ', καὶ οὐ φανῇ ὅτι ἔνε ἐγγαστρωμένη, ἐπληρώθη καὶ ὁ πένθιμος καιρὸς καὶ δύναται ὁρμαστῆναι.

κγ. Τὰ παιδία ἐκείνους τοὺς ἀνθρώπους ὁποῦ δαιμονίζουνται οἱ γονεῖς αὐτῶν, ἐὰν θελήσουν τὰ παιδία νὰ ὁρμαστοῦν, ἠμποροῦν νὰ ὁρμαστοῦν δίχως νὰ ἐπάρουν τὸν ὁρισμὸν τοὺς γονεῖς αὐτῶν.

κδ. Ἐπὶ τῶν ἀναξίων γάμων, ἢ τῆς μνηστείας ἐὰν λάβῃ ἄνθρωπος εἰς τὸ ποιῆσαι μνηστείαν, ἢ πληρῶσαι γάμον, καὶ μεταμεληθῇ, καὶ οὐ θελήσει πληρῶσαι ταῦτα, οἱ ἀρραβῶνες οὓς ἔλαβεν χάριν τούτων μοναπλοῖ στρέφουνται ὡς ἐδόθησαν.

| κε. Οἷος ἄνθρωπος θελήσει νὰ μονάσῃ ἔχων μνῆστρα μετὰ φ. 16
γυναικός, ἔχει καὶ ἄδειαν νὰ ἐπάρῃ τοὺς ἀρραβῶνας οὓς δέδωκεν, ἢ καὶ γυναῖκα ἂν ἔδωκεν ὁμοίως.

κϛ. Ἐπὶ τῶν ἑτεροδόξων, ἢ Ἀκοβίτας, ἢ Νεστωρίους, ἢ Ἀρμένους, ἢ ἄλλην γενεὰν ἣν βδελύττουνται οἱ ὀρθόδοξοι, μὴ γνωρίζοντες ὅτι ἐστὶν ἑτερόδοξοι καὶ βουληθῶσιν λῦσαι τὸν γάμον ἢ

τὴν μνηστείαν ὡς μαθόντες ὕστερον, λαμβάνουσιν οὓς δέδωκαν ἀρραβῶνας ἀκωλύτως· εἰ δὲ ᾔδεισαν τὸ ἀλλότριον τῆς πίστεως καὶ ἔδωκαν ἀρραβῶνας χάριν γάμου πληρώσεως, τότε ζημιοῦται ὁ ἀνὴρ ἃ ἔδωκεν, ἡ δὲ γυναῖκα ἀναδίδωσιν οὓς ἔλαβεν ἀρραβῶνας διπλοῦς, καθὼς λέγει βιβλ. α', τίτλος δ', διάταξις ις' τοῦ κώδικος.

κζ. Ἐὰν ἐκ τῶν δύο προσώπων τῶν ἐχόντων τὰ μνῆστρα τελευτήσῃ ἓν ἐξ αὐτῶν, στρέφουνται οἱ ἀρραβῶνες σῶοι, καθὼς λέγει βίβλος ε' τοῦ κώδικος, τίτλος δ', διάταξις γ', ὅτι εἰς τὸν θάνατον οὐδὲν δίκαιον ἐνποδίζεται.

κη. Κἄν τε αὐτεξουσία ἐστὶν ἡ κόρη, κἄν τε ὑπεξουσία, κἄν τε ἐλάττων οὖσα τῶν κε' ἐτῶν, ἐὰν ἄρα εἶπεν ὅτι τοῦ νόμου ὑπάρχῃ καὶ ἔλαβεν ἀρραβῶνας, ὕστερον οὐδὲν ἠθέλησεν πληρῶσαι τὸν γάμον, εἰς τὸ διπλάσιον οὓς ἔλαβεν ἀρραβῶνας ἀποδίδωσιν· εἰ δὲ ὁ δεδωκὼς ἐνποδίσῃ τὸν γάμον, χάνει οὓς δέδωκεν ἀρραβῶνας.

κθ. Γίνουνται οἱ ἄνθρωποι εἰς τελείαν ἡλικίαν ἀπὸ κ' χρόνου ἕως κε', ἡ δὲ γυναῖκες ἀπὸ ιη' χρόνων ἕως κε' χρόνων· δύνανται καὶ νὰ ἀνατρέψουν τοὺς κουράτορας αὐτῶν· ὅτι οἱ ὀρφανοὶ καὶ ὀρφαναὶ ἐὰν ὑπάρχωσιν οἱ ἄνθρωποι ιε' ἐτῶν, αἱ δὲ γυναῖκες οὐδὲν ἀξιάζουν νὰ ποιήσουν τίποτε ἄνευ κουρατόρου.

λ. Ὁ πατὴρ δύναται ποιῆσαι τοὺς ὀρφανοὺς ἐπίτροπον, ἢ δὲ ἐξουσία, ἢ ἡ ἐκκλησία ποιεῖ κουράτοραν διὰ τὴν βλέπησιν τῶν πραγμάτων ἵνα μὴ καταλυθῶσιν· πρότερον ὀμνῦνται οἱ κουράτορες τοῦ βλεπῆσαι καὶ διοικῆσαι τοῖς ὀρφανοῖς καλῶς, ἄνευ ζημίας τῆς εἰσερχομένης εἰς αὐτούς.

λα. Οἱ ἀρραβῶνες ἐλεγχός ἐστιν τῆς συναλλάξεως· ὁ ἀρραβὼν φύσιν ἔχει τοιαύτην, ἵνα ὁποῖος λάβῃ ἀρραβῶνας καὶ παραιτήσεται τὰ γεγονότα, διπλάσιον δίδει τοὺς ἀρραβῶνας· εἰ δὲ ὁ δεδωκώς, ἐκπίπτει τῆς ἀρραβῶνας αὐτοῦ, εἰ μὴ ἄρα εὔλογος αἰτία παρηκολούθησεν εἰς τὸ μὴ ἀποτελεσθῆναι.

λβ. Ἐὰν ὁ ἄνθρωπος οὐδὲν ἐπάρῃ προῖκαν, καὶ αὐτὸς θελήσῃ καὶ δώσῃ τῆς μνηστῆς αὐτοῦ πρᾶγμα μοναξικῶς εἰς ἔννοιαν νὰ πληρώσῃ τὸν γάμον μετ' αὐτῆς, καὶ μετὰ ταῦτα ἐκεῖνα ἃ τῆς ἐχάρισεν ἐδέκτη αὐτὰ εἰς προῖκα, καὶ ἡ δωρεὰ ἐξιάζει ὡς πρὸ τοῦ γάμου ἐδόθη, καὶ ἡ προῖκα ἐξιάζει ὡς δοθεῖσα παρ' αὐτῆς εἰς προῖκα, ἂν δὲ γράψῃ μόνον ὅτι ὑπεδέξατο προῖκα καὶ οὐδὲν ἐπερίλαβεν, οὐδὲ ἀπαιτεῖται προῖκαν ὡς μὴ δεξάμενος.

λγ. Ὅσα ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσιν τῆς μελλούσης ὁρμασθῆναι μετ' αὐτοῦ, ὡς διὰ νὰ γενῇ ὁ γάμος, καὶ ἐὰν οὐδὲν φθαστοῦν νὰ γενοῦν οἱ γάμοι, οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς τουτέστιν ἐξουσίας ἀναιρεῖται, ἀλλὰ στρέφεται ὅθεν ἐδόθη.

λδ. Ἡ γενομένη παρὰ τοῦ πενθεροῦ, ἢ τῆς πενθερᾶς πρὸς τὴν νύμφην δωρεά, ἢ τοῦ γαμβροῦ δωρεά, οὐδὲ ἀπὸ ἐξουσίας στρέφεται.

λε. Πατὴρ πρὸς τὸν γάμον τῆς αὐτεξουσίας θυγατρὸς προῖκα ἐπιδιδούς, καλῶς συμφωνεῖ, ἐὰν συμβῇ πρὸς τὴν θυγατέραν θάνατος νὰ ζητῇ τὴν προῖκα· ἐὰν δὲ μὴ συνεφώ|νησεν τῷ φ. 17 γάμῳ αὐτῆς ἀναδιδόσθω, εἰ γενῇ, ἢ οὐκ εἰ γενῇ ὁ γάμος, ἔχει ἐξουσίαν ὁ πατὴρ τοῦ ζητῆσαι καὶ ἐπᾶραι ταύτην.

λϛ. Ἐάν τις δωρήσηται τῆς μνηστῆς αὐτοῦ πρᾶγμα μὲ τοιοῦτον στοίχημα ὅτι, ὅταν πληρωθῇ ὁ γάμος, τότε νὰ γένεται κυρία τῆς δωρεᾶς ἐκείνης, οὐδὲν ἐξιάζει ἡ δωρεὰ ἐκείνη, ἀλλὰ ἄχρηστός ἐστιν, ὅτι ἡ προγάμου δωρεά, ἤγουν τὸ κανίσκι τὸ στείλῃ γαμβρὸς πρὸς τὴν νύμφην, ἔκαμέν το ἡ κόρη καὶ εἴ τι θέλει ποιεῖ ἐξ αὐτοῦ.

λζ. Τρία χαρίσματα λέγομεν ὅτι ποιεῖ ὁ ἄνθρωπος πρὸς τὴν γυναῖκα, θεώρετρα, ὑπόβολα, καὶ γαμικὰ κέρδη· θεώρετρα, τὰ διδόμενα πρὶν τῆς ὁρμασίας· ὑπόβολα, τὰ ποιεῖ ὁ γαμβρὸς μετὰ τὸ ὁρμαστεῖν· γαμικὰ κέρδη, τὰ μετὰ θάνατον, ἤγουν τὸ τέταρτον τῆς οὐσίας τοῦ ἀνθρώπου.

λη. Ἐὰν ἐφίλησεν ὁ μνηστὴρ τὴν μνηστὴν ἐν τῷ καιρῷ τῆς μνηστείας, καὶ τελευτήσῃ ἕνα τῶν ἀμφοτέρων μερῶν, τὸ ἥμισυ τῆς δωρεᾶς ἔχει ἡ νύμφη, καὶ τὸ ἕτερον ἥμισυ στρέφεται ὅθεν ἐξῆλθεν.

λθ. Ἐπειδὴ ὡρίσαμεν τῇ μνηστῇ δωρεῖσθαι, ἤγουν τῆς χαρτωμένης, οὐχὶ δὲ τῆς ὁρμαστικῆς, ἐζητεῖτο παρὰ τοὺς σοφοὺς καὶ διδασκάλους ἐὰν γένηται τὸ χάρισμα τῇ ἡμέρᾳ τῶν γάμων ἐὰν ἐξιάζῃ, καὶ ὡρίσθη παρὰ τοῦ διδασκάλου, ἐὰν ὁμολογήσῃ ὁ γαμβρὸς ὅτι διδοῖ το ὥςπερ ἂν ἦτον πρὸς μνηστήν, ἐξιάζει, καὶ ἡ γυναῖκα ποιεῖ ἐξ αὐτοῦ ὃ θέλει, εἰ δὲ εἴπῃ ὅτι διδῶ το ὡς γυναῖκάν μου, οὐδὲν ἐξιάζει, καθὼς λέγει βιβλίον ε΄ τοῦ κώδικος.

μ. Λέγει τοίνυν ἡ διάταξις ὅτι χρῆσιν ἔχει νὰ ζητηθῇ, ποῦ γέγονεν ἡ δωρεά, ἵνα, ἐὰν ἐγένετο εἰς τὸ ὀσπίτιν τῆς γυναικός, λέγωμεν ὅτι ὡς πρὸ[ς] μνηστὴν ἐγεγόνει τὸ χάρισμα, εἰ δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρός, ἐγεγόνει ὡς πρὸς γαμετήν.

μα. Οἱ χρεωφειλέται τοῦ ἀνδρός, ἐὰν μάθωσιν ὅτι ἔδωκεν ὁ ἄνθρωπος χάρισμα τῆς γυναικοῦ του, οὐδὲν ἔχουν ἐξουσία νὰ ἐπάρου τὴν δωρεὰν ἣν ἐποίησε πρὸς τὴν μνηστὴν ὁ γαμβρός, ὡς δοθέντα χάριν γάμου.

μβ. Γυναῖκά τις μέλλουσα νὰ ὁρμαστῇ, ἐτάχτη μετὰ τὸ ὁρμασθῆναι νὰ δώσῃ τοῦ ἀνδρὸς μεγάλην προῖκα, καὶ ἐκόνπωσεν τὸν ἄνδρα ὡς διὰ νὰ τῆς δώσῃ καὶ ἐκεῖνος μεγάλην δωρεάν, καὶ ἐτάχτη καὶ ἐκεῖνος πολλά, ὡς διὰ νὰ λάβῃ μνῆστρα, οὐδὲν ἐξιάζει ἡ τοιούτη ὑπόσχεσις, διὰ τὸ ὁ γάμος οὐδὲν ἐτελειώθη, ἂν μὴ ἐγένουνταν ἀμφοτέρων αἱ ὑποσχέσεις εἰς οὐδέναν κράτημαν, καὶ οὐκ ἐπληρώθη οὔτε τὰ μνῆστρα, οὔτε ὁ γάμος.

Γ. Περὶ τοὺς ἄνδρας τοὺς μὴ δυναμένους μιγῆναι ταῖς γυναιξὶν αὐτῶν ἐν γάμῳ.

Ὀφείλει ὁ συνήγορος παρασταθῆναι μετὰ τῆς κόρης καὶ εἰπεῖν πρὸς τὸν ἀρχιερέαν, ἢ τὸν ἀδικάριον αὐτοῦ, οὕτως:

« Δέσποτα, παρισταμένη ἡ δεῖνα θυγατέρα τοῦ δεῖνα, καὶ ποιεῖ τὴν ἁγιωσύνην σου νὰ ἐγνωρίζῃς ὅτι ὁ πατὴρ αὐτῆς ὁ κῦρις δεῖνα ἐμνηστεύσατο αὐτὴν μνῆστρα καὶ τελείαν ἱερολογίαν μετὰ τοῦ δεῖνα· πολιτεύοντες ἐν τῷ ἅμα ἔχει τὴν σήμερον ἡμέραν χρόνους δ', καὶ αὐτὸς ὁ δεῖνα οὐ δύναται συναφθῆναι μετ' αὐτῆς, οὔτε ἐκπληρῶσαι τὰ τοῖς ἀνδράσιν, καὶ παρακαλεῖ τὴν ἁγιωσύνην σου ὅτι νὰ τῆς δώσῃς | λύσιν τοῦ φ. 18. τοιούτου γάμου τοῦ συναφθῆναι ἑτέρῳ ἀνδρί, καθὼς τὸ δίκαιον ἀπαιτεῖ, ὅτι οὐ δύναται πλέον βαστάξαι τὴν τοιούτην στέρησιν τὴν ἀνδρικήν ».

Καὶ ἐὰν ὁμολογήσῃ, δόξα τῷ θεῷ, ἂς ὁρίσῃ ὁ κριτὴς καὶ ἂς ποιήσῃ ὅρκον, ὅτι τοῦτο τὸ λέγει, οὐδὲν τὸ λέγει διὰ τρόπον νὰ χωριστῇ ἐξ αὐτῆς, ἢ διατὶ τὴν μισεῖ τὴν γυναῖκα, ἢ διὰ τὸ ἐλπίζει νὰ τῆς χωρισθῇ νὰ ὁρμαστῇ ἄλλην, ἢ διὰ κάλλος εὐμορφώτερον, ἢ διὰ πλοῦτος προικός, ἀνμὲ λέγει το ὡς διὰ τὸ οὐδὲν ἠμπορεῖ νὰ τῆς κοιμηθῇ τῇ φύσει τῶν ἀνθρώπων. Καὶ μετὰ τοῦτο ἂς ὀμόσῃ ὁ πατὴρ τοῦ κορασίου καὶ ἡ μητέρα αὐτῆς, ὅτι τὸ κοράσιν ἔνε παρθένον· ὁμοίως καὶ τὸ κοράσιν νὰ ὀμόσῃ, καὶ μία γυναῖκα μάμμη, ἐὰν ἓν παρθένος. Εἰ δὲ καὶ οὐδὲν ὁμολογήσῃ, καὶ παρασταθῇ εἰς κρίσιν καὶ ζητήσῃ λίβελλον, ἂς τοῦ δώσουν ἡμέραν, καὶ εἰς τὴν ἡμέραν ἂς τοῦ δώσουν λίβελλον ἐγγράφως οὕτως.

Ὁ λίβελλος. « Ἔμπροσθεν ὑμῶν, πανιερώτατε καὶ θεοτίμητε ἐπίσκοπε Ἀρσενόης κῦρι δεῖνα, πρόεδρε πόλεως καὶ ἐνορίας Πάφου, παρισταμένη κἀγὼ δεῖνα, παρθένος οὖσα, θυγάτηρ τοῦ δεῖνα προβάλλομαι καὶ λέγω κατὰ τοῦ δεῖνα καὶ εὐλογητικοῦ μου ἀνδρός, ὡς ὅτι προλαβὼν ὥρμασέν με ὁ πατήρ μου μετ' αὐ-

τοῦ μνῆστρα καὶ τελείαν ἱερολογίαν· ἔχει τὴν σήμερον χρόνους τόσους καὶ οὐ δύναται συναφθῆναι μετ' ἐμοῦ καθὼς καὶ οἱ ἕτεροι ἄνδρες, ἀλλ' οὖν σώζομαι παρθένος μέχρι τὴν σήμερον. Ὅθεν κἀγὼ ἡ δεῖνα αἰτῶ τὴν ὑμῶν ἁγιότηταν ὡς ἵνα ἐκκλησιαστικῶς καὶ ἀποφανθικῶς ὁρίσῃς καὶ ἐκσφενδονίσῃς τὸν προρρηθέντα δεῖνα ἀπ' ἐμοῦ, ὡς παρελθόντος τῆς τριετίας τῆς ἐν τοῖς νόμοις διοριζομένης καὶ μὴ δυνάμενον τῆς μετ' ἐμοῦ συναφείας καὶ τὰ τοῖς ἀνδράσιν ἐκπληροῦν, καθὼς ἀπαιτεῖ τὸ δίκαιον. Ταῦτα δὲ λέγω σωζομένου τοῦ δικαίου καὶ τὰ ἑξῆς· προβάλλομαι δὲ τοῦ αὐξῆσαι καὶ ἐλαττῶσαι.»

Ὀφείλει δὲ γράφειν λιβέλλους τρεῖς, παρόμοιος ὁ εἷς τοῦ ἑτέρου· τὸ ἓν ἔχεις τον ἐσού, τὸν ἕτερον διδοῖς εἰς τὴν αὐλήν, καὶ τὸν ἕτερον δίδει τον ὁ κριτὴς τοῦ ἀντιδίκου. Καὶ ἐκεῖνον τὸν λίβελλον ὃν ἔχει ἡ αὐλὴ γράφει ὁ νοτάριος ὄπισθεν «Προσεκομίσθη ὁ παρὼν λίβελλος τὴν δεῖνα ἡμέραν εἰς τὰς τόσας τοῦ μηνός· καὶ ἐδόθη τῆς ἄλλης μερκιᾶς τοῦ σκέψασθαι ἡμέραι δ' μέχρι τὴν δεῖνα ἡμέραν».

Πάλιν ἔρχεται τὸ ἀντίδικον μέρος εἰς τὴν ἡμέραν ἣν ἔλαβεν τῆς σκέψεως, καὶ ἂν θέλῃ νὰ κρατήσῃ τὴν δίκην, ἀρνεῖται, εἰ δὲ καὶ οὐ θέλῃ, διδοῖ του ὁ κριτὴς ἄλλας δ' ἡμέρας νὰ δώσῃ τὰ δίκαιά του, ἐὰν τὰς ζητήσῃ, ἢ ἐσωμέρου, ὅτι τὸ δίκαιον ἀπαιτεῖ κάθα ἔγραφον ἡμέρας δ', ἐκεῖνος δὲ τὸ τυχὸν θέλει νὰ κοντεύσῃ τὰς ἡμέρας καὶ λανθάνῃ παρκάτω, καὶ ὁ κριτὴς ἔνε κρατημένος νὰ τοῦ τὰς δώσῃ. Καὶ ὅταν πληρωθῶσιν αἱ ἡμέραι αἱ τέσσαρες, ἐκείνην τὴν ἡμέραν ἔρχεται ὁ ἀντίδικος καὶ φέρνει ἐγγράφως τὰ δίκαιά του λέγων οὕτως:

Αὐτά εἰσι τὰ πρῶτα δίκαια. «Κατὰ τοῦ λιβέλλου τοῦ προσκομισθέντος παρὰ τῆς δεῖνα γαμετῆς μου γεγονυίας διὰ συγκαταθέσεως ἡμῶν ἀμφοτέρων οὐδὲν ὀφείλω τοῦ ἀπολογηθῆναι αὐτῆς ἐν τῇ αἰτήσει ἣν ἀπέδωκεν κατ' ἐμοῦ, οὔτε τῆς ἁγιωσύνης σου ἀκροάσασθαι αὐτῆς καὶ δοῦναι αὐτῆς λύσιν ἀλ-

λης συνζεύξεως παρ' ἐμοῦ, διότις ἐλπίζω τοῦ εὑρεῖν ὑγείαν καὶ ἰατρείαν τῆς συναφείας, ἄλλω τε ὅτι εἶμαι ἄνθρωπος ὡς καὶ οἱ ἄλλοι ἄνδρες· διά τοι τοῦτο λέγω ὅτι οὐδὲν ὀφείλω τοῦ ἀπολογηθῆναι αὐτῆς, ἐπεὶ τὴν καθ' ἑκάστην ἡμέραν τε καὶ νύκτα εἴμενθα ἀμφότεροι συνενοῦντες, οὐδὲ ὀφείλεις ἀκροά|σασθαι αὐτῆς, σωζομένων τῶν δικαίων μου ». φ. 19.

Καὶ μετὰ τὸ δοῦναι τὰ παρόντα πρῶτα δίκαια, σημειόνει ταῦτα ὁ νοτάριος λέγων ὄπισθεν ἐκεῖ ὁποῦ ἔγραψεν τὸ πρῶτον σημείωμα « τὴν δεῖνα ἡμέραν, εἰς τὰς ἔτοσας τοῦ μηνὸς ἐπροσκομίσθησαν τὰ παρόντα πρῶτα δίκαια, καὶ ἐδόθη τῆς ἄλλης μεραίας ἡμέρα τοῦ δοῦναι τὰ δεύτερα δίκαια, ἡμέραι δ', μέχρι καὶ τὴν ἡμέραν τὴν δεῖνα ».

Καὶ τὸ ἄλλο μέρος λαμβάνει τὴν ἡμέραν, καὶ κατὰ τὴν ἡμέραν ἐκείνην ἔρχεται καὶ φέρνει ἐγράφως λέγων οὕτως.

Δεύτερα δίκαια τῆς γυναικός. « Κατὰ τῶν δικαιωμάτων ὧν προσέφερεν κατ' ἐμοῦ ὁ ἀνήρ μου κῦρις δεῖνα, καὶ λέγει, δέσποτα, ὅτι οὐδὲν ὀφείλει τοῦ ἀπολογηθῆναί μοι, μᾶλλον ὡς λέγει οὐδὲ ἡ ἁγιωσύνη σου τοῦ ἀκροάσασθαί μοι, οὐδὲν οἶδεν τὶ λέγει, διότι ὁ αὐτὸς ὁμολογεῖ ὅπερ λέγω ἐν τῇ αἰτήσει τοῦ λιβέλλου μου, ὅτι, ὡς λέγει, εἶναι καθ' ἑκάστην μετ' ἐμοῦ καὶ ἀδυνατεῖ τῆς συναφείας, καὶ ἐλπίζει τοῦ εὑρεῖν ἰατρείαν. Ὁ δὲ κανὼν τῶν ἀοιδίμων βασιλέων οὐδὲν διωρίσατο ἐλπίδας μακρὰς καὶ ἀνωφελεῖς, ἀλλ' οὖν ὡρίσατο τὴν γυναῖκα μετὰ τὸν ἄνθρωπον καρτερεῖν τῆς συναφείας μέχρι τριετίαν, καὶ ἐὰν παρέλθῃ, καὶ οὐ μιγῇ μετὰ τῆς γυναικός, ἵνα ὑποδείχνῃ τῇ ἐκκλησίᾳ, καὶ ἡ ἐκκλησία νὰ δίδῃ τὴν λύσιν τοῦ τοιούτου γάμου. Διά τοι τοῦτο αἰτῶ τὴν ὑμῶν ἁγιότητα, καὶ αἰτῶ λύσιν τοῦ συνζευχθῆναι ἑτέρῳ ἀνδρὶ νομίμῳ διὰ πληρεστάτης σου ἀποφάσεως, καθὼς ἀπαιτεῖ τὸ δίκαιον ».

Καὶ γράφεται καὶ αὐτὴ ἡ ἐνθύμιος εἰς τὸν νοτάριον· καὶ ἐρωτᾶται παρὰ τοῦ κριτοῦ, ἐὰν ἔχῃ ἄλλο τι τοῦ εἰπεῖν ἢ

ἐγράφως, ἢ ἀγράφως, καὶ ὡς ἂν ἀπολογηθῇ γράφεται καὶ αὐτό.

Καὶ μετὰ τοῦτο θέτουν το ἀμφότεροι εἰς τὸν κριτήν, καὶ ζητοῦν μέσην ἀπόφασιν· καὶ ὁ κριτὴς διδοῖ ἡμέραν τῆς μέσης ἀποφάσεως, καὶ εἰς τὴν ἡμέραν λέγει ἐγράφως οὕτως:

Μέση ἀπόφασις. « Ἐπὶ τῇ ὑποθέσει τῶν ἀμφοτέρων μερῶν, τῆς τε δεῖνα, θυγατρὸς δεῖνα, γαμετῆς γεναμένης τοῦ δεῖνα, ἡμεῖς δεῖνα ἐλέῳ θεοῦ ἐπίσκοπος Ἀρσηνόης, πρόεδρος πόλεως καὶ ἐνορίας Πάφου, σκέψαντες τὰς πράξεις αὐτῆς ἀκριβῶς, ἔχοντες δὲ καὶ βουλὴν μετὰ λογίμων ἀνδρῶν, ἀφήνομεν ἐγράφως καὶ διὰ μέσης ἀποφάσεως ὁρίζομεν οὕτως· ἀνατρέπομεν τὰ δίκαια τὰ δοθέντα παρὰ τοῦ κυροῦ δεῖνα, καὶ ὁρίζομεν αὐτὸν τοῦ ἀπολογηθῆναι εἰς τὴν αἴτησιν τῆς κυρᾶ δεῖνα (καὶ γράφεται ἡ ἡμέρα πότε ἐδόθη) ἡμέρα τῆς μέσης ἀποφάσεως· εἰς τὰς ἔτοσας τοῦ μηνὸς ἐγράφη, ἀνεγνώσθη, ἐκηρύχθη ἡ μέση ἀπόφασις, παρόντος τοῦ δεῖνα καὶ δεῖνα ».

Καὶ καρτερεῖ ἡ μέση ἀπόφασις ἕως ἡμέρας ι΄ σιγὸς ὁ κριτής, καὶ πληρουμένων τῶν ι΄ ἡμερῶν, ἔρχεται τὸ ἀντίδικον μέρος καὶ κρατεῖ τὴν δίκην, καὶ γίνεται παρὰ τῶν ἀμφοτέρων μερῶν ὁ ἔνδικος ὅρκος. Καὶ ἡ γυναῖκα δίδει τὰ προβάλματα. « Προβάλλομαι κἀγὼ ἡ δεῖνα θυγατέρα τοῦ δεῖνα, ὡς ὅτι ὡρμάστην μὲ τὸν δεῖνα υἱὸν τοῦ δεῖνα μνῆστρα καὶ τελείαν ἱερολογίαν· ἔτι, ὅτι ἔχει τὴν σήμερον ἡμέραν χρόνους τόσους· ἔτι, ὁ ἀνήρ μου ὁ προρρηθεὶς οὐ δύναται συναφθῆναι μετ' ἐμοῦ, ἀλλὰ σώζομαι παρθένος· ἔτι, ὅτι καὶ διὰ τοῦτο ζητῶ λύσιν τοῦ τοιούτου γάμου ».

Καὶ μετὰ τοῦτο ἐρωτᾶται ὁ ἄνθρωπος, ὁ ἄνδρας τῆς γυ-
φ. 20. ναίκας, κεφάλαιον πρὸς κεφάλαιον· | καὶ ἐὰν τὸ ἀρνηθῇ, φέρνουν μάρτυρας, μίαν γυναῖκα μάμμην καὶ ψηλαφᾶται, καὶ ἡ μάνα καὶ ὁ πατὴρ αὐτῆς, καὶ εἴ τι εἰποῦσιν γράφει το ὁ νοτάριος καὶ τῶν τριῶν ἡ μαρτυρίαις. Καὶ διδοῖ ὁ κριτὴς ἡμέραν, καὶ

ἀναγινώσκουνται ἡ μαρτυρίαις τοῦ πατρὸς καὶ τῆς μάμμης καὶ τῆς μάνας τοῦ κορασίου. Καὶ διδοῖ ὁ κριτὴς ἡμέραν· καὶ ἂν θέλῃ νὰ εἰπῇ ὁ ἀντίδικος, νὰ εἰπῇ λόγον, καὶ ἂν οὐδὲν θέλῃ νὰ εἰπῇ, διδοῖ ὁ κριτὴς ἡμέραν τῆς ἀποφάσεως· καὶ εἰς τὴν ἡμέραν ἐκείνην ἔχει ὁ κριτὴς τὴν βουλήν του, καὶ ἀναγινώσκει τὴν ἀπόφασιν ἐγγράφως.

Πληρεστάτη ἀπόφασις. « Γινωσκέτωσαν πάντες οἱ τὴν παροῦσαν πληρεστάτην ἀπόφασιν ἀναλαβόντες καὶ ἀκούσαντες, ὅτι ἡμεῖς δεῖνα ἐλέῳ θεοῦ ἐπίσκοπος Ἀρσηνόης, πρόεδρος πόλεως καὶ ἐνορίας Πάφου, γνωρίσαντες ἀπαὶ τὴν ὑπόθεσιν τῆς ὁρμασίας τῆς γεναμένης ἀναμεταξὺ τῆς δεῖνα καὶ τοῦ δεῖνα, οὗτινος δεῖνα λίβελλος ἐδόθη κατὰ τοῦ ἀνδρὸς αὐτῆς περιέχων οὕτως: ἔνπροσθεν ὑμῶν, πανιερώτατε καὶ θεοτίμητε ἐπίσκοπε δεῖνα (καὶ γράφε τὸν λίβελλον ὅλον καθὼς κεῖται ἔνπροσθεν ἕως τέλους, εἶτα γράφε), δίκης κρατηθείσης νομίμου εἰς αὐτό, ὅρκων γενομένων τοῦ εἰπεῖν τὴν ἀλήθειαν, ἐρωτήσεων καὶ ἀποκρίσεων κεφαλαίων δοθέντων, μαρτύρων προσκομισθέντων, δι' ὅρκων στενευθέντων, καὶ τὰ ῥηθέντα παρ' αὐτῶν πιστῶς γραφέντα καὶ διὰ συγκαταθέσεως τῶν μερῶν ἀναγνωσθέντα καὶ κηρυχθέντων, ὕστερον ἀσφαλήσαντο τὴν δίκην καὶ αἰτήθησαν τὴν ἀπόφασιν· καὶ ἐδόθη αὐτοῖς ἡμέρα τοῦ πληρεστάτην ἀπόφασιν ἀκοῦσαι, ἧς ἡμέρας κρεμμαμένης, ἐρευνήσαντες τὰς πράξεις αὐτῶν ἀκριβῶς, ἔχοντες δὲ καὶ βουλὴν μετὰ λογίμων ἀνδρῶν, ἀποφήνομεν ἐγγράφως καὶ διὰ πληρεστάτης ἀποφάσεως ὁρίζομεν οὕτω: ἐπεὶ ἐδιάβη ἡ τριετία τῆς συναφείας καὶ οὐκ ἠδυνάστη ὁ δεῖνα τοῦ συναφθῆναι μετὰ τῆς συμβίου αὐτοῦ δεῖνα, λέγομεν ὅτι ὁ τοιοῦτος γάμος ἐγεγόνει δι' ἔργου καὶ οὐχ ὡς δικαίου, καὶ διαλύουμεν τὸν τοιοῦτον γάμον, καὶ ὁρίζομεν τὴν προρρηθεῖσαν δεῖνα, ὡς φυλάξασαν τὴν παρθενίαν αὐτῆς, τοῦ συνζευχθῆναι ἑτέρῳ ἀνδρὶ νομίμῳ. Ἐγράφη, ἀνεγνώσθη, ἐκηρύχθη, παρόντος τοῦ δεῖνα καὶ δεῖνα

καὶ δεῖνα (καὶ γράφε τὴν ἡμέραν ὅτε ἐκηρύχθη καὶ τοὺς μάρτυρας).

Δ. Περὶ λύσεως γάμου καὶ τῶν αἰτιῶν αὐτοῦ (1).

α. Ἐπειδὴ πολλὰς ἐν τοῖς παλαιοῖς νόμοις εὕραμεν αἰτίας ἐξ ὧν εὐχερῶς αἱ τῶν γάμων λύσεις γίνονται, τούτου ἕνεκα συνοίδομεν ἐκ τούτων περιελεῖν τινας, αἵπερ ἡμῖν ἀναξίαι πρὸς τὸ διαλύειν γάμους ἐφάνησαν, καὶ ταύτας μόνον ὀνομαστὶ τῷ παρόντι ἐντάξαι νόμῳ ὑπὲρ ὧν εὐλόγως τοὺς γάμους δίχα ποινῆς ἔξεστιν διαλύειν. (Νεαρὰ ριζ΄.).

β. Ἐὰν συναινέσῃ δύο πρόσωπα καὶ γένεται ὁρμασία μέσον αὐτούς, ἤγουν ἄνδραν καὶ γυναῖκα, ἐκεῖνος ὁ γάμος δύνεται πάλιν νὰ λυθῇ, ἐὰν θελήσουσιν ἀμφότεροι νὰ ἐνποῦν εἰς μοναστήριον, ὅτι ἂν θελήσῃ τὸ ἓν πρόσωπον νὰ γένεται καλόγρηα καὶ τὸ ἄλλο πρόσωπον οὐδὲν θελήσῃ νὰ γενῇ μοναχός, οὐδὲν διαλύεται ὁ γάμος ἐκεῖνος, ἀλλὰ οἱ δύο ἅμα ἐξιάζει.

γ. Ἐγνώριζε δὲ καὶ τοῦτο, ὅτι ἡ ρμ΄ Νεαρὰ ὁρίζει ὅτι καὶ
φ. 21. ἀμφότερα τὰ δύο πρόσωπα ἠμποροῦν νὰ σώζεται ὁ γάμος |
καὶ νὰ παρθενεύουν τῆς συναφείας οὐδεὶς ἀναγκάζει.

δ. Πάλιν λέγει ἡ ριζ΄ Νεαρὰ καὶ ὁρίζει, ὅτι οὔτε ἂν χωριστῇ τὸ ἀνδρόγυνον καὶ εὑρεθοῦν ὅτι ἔχουσιν παιδία νόμιμα, διὰ τοῦτο οὐδὲν κωλύουσι τὰ παιδία, ἐὰν συμβῇ θάνατος εἰς τοὺς γονεῖς, νὰ χάσουν τὴν κληρονομίαν τοὺς γονεῖς αὐτῶν.

ε. Πάλιν ἐὰν συμβῇ τὸ ἓν πρόσωπον ἀπαὶ τὸ ἀνδρόγυνον καὶ γένεται κελεφός, διὰ τὴν κελέφειαν οὐδὲν χωρίζουνται, ἀλλὰ μένουν οὕτως.

ϛ. Ὁμοίως λέγει ἡ αὐτὴ Νεαρά, διαλύεται ὁ γάμος ἐξ ἀ-

(1) Ἐπισημειοῦται: κεφάλαιον ζήτει ἔμπροσθεν.

νάγκης καὶ δίχως ἀντιλογίαν, ὅταν τις ἄνθρωπος οὐ δύναται νὰ συναφθῇ μὲ τὴν γυναῖκάν του καὶ νὰ ποιήσῃ τὴν συνήθεια ὡς ποιοῦσιν οἱ ἄλλοι οἱ ἄνθρωποι, καὶ παραδράμουν χρόνοι γ' καὶ οὐ ποιήσει τὴν συνήθειαν τῶν ἀνθρώπων, δύνανται οἱ γονεῖς τοῦ κορασίου νὰ προσφέρουν τὸ κοράσιν καὶ τὸν ἄνδραν αὐτῆς εἰς τὴν ἐκκλησίαν, καὶ νὰ φανερώσου τὴν αἰτίαν δι' ἧς οὐ δύναται μιγῆναι μετ' αὐτῆς· καὶ ἐὰν ἐπαρέδραμεν ὁ καιρὸς τῆς τριετίας νὰ χωριστῇ ἄνευ ποινῆς.

ζ. Καὶ ἡ προῖκα ἣν ἔλαβεν μετὰ τῆς γυναικὸς νὰ στραφῇ εἰς αὐτήν, ὅτι διὰ τὸν γόνον δίδοται ἡ προὶξ· ὁμοίως καὶ ἡ προγάμου δωρεὰ νὰ μείνῃ τοῦ ἀνδρός.

η. Ὁμοίως λέγει καὶ βιβλ. β', τίτλος δ', διάταξις θ· τοῦ γάμου λυομένου, ἀς τρέφουνται τὰ παιδία ἀπαὶ τὰ ἀγαθὰ τὰ πατρικά, ἐὰν ἔχουν οἱ γονεῖς τὴν ἐμπόριον, ὅτι τοὺς ἀπόρους ἡ ἀπόρεια ἔνε εὔλογος ἀφορμή.

θ. Πάλιν λέγει ἡ ριζ' Νεαρὰ καὶ ρκβ', ὅτι ἐὰν ἄνθρωπος, ἢ γυναῖκα πιασθῇ εἰς αἰχμαλωσίαν, ἔχωνταις πρότερον νόμιμον γάμον, μηδὲν τολμήσῃ τὸ ἐναπομεῖναν πρόσωπον ἔξω τῆς αἰχμαλωσίας νὰ ἐπάρῃ, ἂν ἔνε ἄνθρωπος, ἄλλην γυναῖκα, ἢ ἡ γυναῖκα ἄλλον ἄνθρωπον, ἕως οὗ ἀκούουσιν ὅτι ζῇ τὸ ἓν πρόσωπον· καὶ εἰ δὲ οὐκ ἀκουσθῇ ὅτι ζῇ, χρῆσιν ἔχει τὸ ἐναπομεῖναν πρόσωπον νὰ μείνῃ ἄνευ ὁρμασίας ἕως χρόνους ε', καὶ μετὰ τοῦτο δύναται νὰ ὁρμαστῇ τὸ ἐναπομεῖναν πρόσωπον ἀκωλύτως.

ι. Εἰ δὲ καὶ μετὰ καιρὸν ἐλευθερωθῇ τῆς αἰχμαλωσίας, δύνανται πάλιν ἀμφότεροι μιγῆναι καὶ εἶναι ὡς τὸ πρότερον, καὶ ἡ ἄλλη γυναῖκα μένει ἔξωθεν.

ια. Ἀνδρόγυνον ἀμφότεροι ἐλύσασιν τὸν γάμον ὡς δῆθε νὰ γένουνται καὶ οἱ δύο μοναχοί, ἤγουν καλόγεροι, καὶ τὸ μὲν ἓν πρόσωπον ἐγένετο εἰς τὴν μοναχικὴν τάξιν, τὸ δὲ ἕτερον ἐκόμπωσεν καὶ οὐδὲν ἐγένετο, ἀλλ' οὖν ὡρμάστη εἰς ἕτερον

πρόσωπον, ὁρίζει ὁ θεῖος κανὼν τὴν περιουσίαν τοῦ προσώπου ὁποῦ ὁρμαστοῦν νὰ τὴν ἐπάρουν τὰ παιδιά τους· εἰ δὲ οὐκ ἔχει παιδία, νὰ ἐπάρῃ τὴν οὐσίαν του ἡ ἐξουσία, ὡς παραβὰς τὰ συμφωνηθέντα.

Πάλιν ὁρίζει ὁ κανών, ἄνθρωπος εἰς τὴν ἀσθένειάν του, ἢ καὶ ἐν ὑγείᾳ, ἢν ἐτάχθη ἔνπροσθεν τοῦ πνευματικοῦ του ὅτι ὑπόσχομαι τοῦ μὴ λαβεῖν γάμον, ἀλλὰ δουλεύειν θεῷ, ἐὰν καὶ ὁρμαστῇ μετὰ ταῦτα, ἡ ὁρμασία νὰ μηδὲν ἐξιάζῃ, καὶ ἐκείνη νὰ δουλεύσῃ εἰς τὴν ζωήν της ὡς ὑποσχένθη.

Πάλιν λέγει ὁ κανών, ἄνθρωπος ὡρμάστη γυναικὸς δοκῶν, ἢ γυναῖκα ἀνθρώπου, ὅτι ἔνε ἐλεύθερη ὡς ἐκεῖνος, ἐκείνη δὲ εὑρέθη ὅτι ἔνε παροίκησσα, ἢ δούλη, οὐδὲν ἐξιάζει ὁ γάμος ἐκεῖνος, ἀλλὰ διαζεύγνυται, ἤγουν χωρίζεται· εἰ δὲ καὶ ἐγνωρίζει ὅτι ἔνε δούλη, ἢ παροίκησσα, καὶ συνζευχθῇ μετ' αὐτῆς, μένουν εἰς τὴν ὁρμασίαν καὶ οὐδὲν χωρίζουνται.

Ἐὰν λάβῃ ἄνθρωπος μετὰ γυναικὸς εὐχὴν καὶ ἀσπασμόν,
φ. 22. ὕστερον | μεταμεληθεὶς γένεται μοναχός, οὐδὲν κωλύεται εἶναι μοναχός, ἀλλὰ ἀζημίως ἐπανέρχεται δουλεύων θεῷ.

Πάλιν λέγει βιβλ. α' τοῦ κώδικος, τίτλος γ', διάταξις μβ', ἐὰν θελήσῃ ἄνθρωπος νὰ μονάσῃ, ἢ γυναῖκα ἀπὸ τοῦ ἀνθρώπου, μὴ ἔχοντες παιδία, οὐδὲν ἐντέχεται τὸ ἓν πρόσωπον νὰ κάμῃ ἀπὸ τοῦ ἄλλου προσώπου εἰ μὴ τὸ τέταρτον τῆς προικὸς τοῦ ἐναπομείναντος, καὶ οὐχὶ εἰς μίαν νὰ γένεται μοναχός, ἀλλὰ νὰ καρτερέσῃ χρόνους δύο, καὶ οὕτως νὰ μονάσῃ.

Τὰς αἰτίας ἐξ ὧν ὁ ἀνὴρ χωριζόμενος τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνει δύναται, ἐστὶν αὗται. Ἐὰν ὁ ἄνθρωπος ἠξεύρῃ τινὰς ὅτι ἔνε ἐπίβουλοι τῆς βασιλείας, ἢ μᾶλλον γυναῖκα, καὶ οὐδὲν τὸ φανερώσει τοῦ ἀνδρὸς αὐτῆς, ἢ ὁ ἄνδρας φανερώσει τὴν γυναῖκα τὸν τρόπον τῆς ἐπιβουλείας, δύνανται διαζευχθῆναι, ἤγουν χωρισθῆναι, καὶ διὰ τούτην τὴν αἰτίαν νὰ κάμῃς καὶ τὴν προῖκα, ἡ δὲ τὴν οὐσίαν τοῦ ἀνδρός. Ἐὰν ἐπι-

βουλεύση ἡ γυναῖκα τῆς ζωῆς τοῦ ἀνδρός, ἢ ὁ ἀνὴρ ἐπιβουλεύση τῇ ζωῇ τῆς γυναικὸς καὶ ὑποδειχθῇ ἐπ' ἀληθείας, χωρίζουνται. Ἐὰν ἡ γυναῖκα ὑπάγη μετὰ ξένων ἀνθρώπων εἰς παραδιάβασιν, ἢ νὰ μείνη ἔξω τοῦ οἴκου της ἄνευ τοῦ ὁρισμοῦ τοῦ ἀνδρὸς αὐτῆς, χωρίζεται. Ἐὰν ὁ ἀνὴρ ποιήση τὸν ἐμαυτόν του ὅτι ὑπάρχει δαιμονιάριος ὡς ἀφορμῆς ὅτι ἔχει ἀσθένειον, ἐκεῖνος δὲ ποιῶν ὡς τρόπον καὶ εὑρεθῇ μὲ ἄλλην γυναῖκα μοιχεύων, ἂν θέλη ἡ γυναῖκα χωρίζεται τοῦ ἀνδρὸς κατηγορῶν αὐτὸν ὡς μοιχόν. Ἐὰν ὁ ἄνθρωπος ἐπιβουλεύση τῆς γυναικὸς καὶ βάλη ἄνθρωπον ἐπάνω τῆς γυναικὸς νὰ τὴν μοιχεύση, δύναται ἡ γυναῖκα διὰ τούτην τὴν αἰτίαν νὰ χωρισθῇ. Ἐὰν ὁ ἄνθρωπος κατηγορήση τὴν γυναῖκάν του ὅτι ἔχει ἄλλον ἄνθρωπον, καὶ δυναστῇ νὰ ἀποδείξη ἅπερ κατηγορεῖ τὴν γυναῖκα, ἀλλ' ἀποδεικτοῦν ψευδὲς ἅπερ λέγει κατ' αὐτῆς, δύναται ἡ γυναῖκα χωρισθῆναι ἐξ αὐτοῦ, ὡς διὰ τὴν ἐπιβουλεῖαν τοῦ θανάτου.

Οὐδὲν δύνανται οἱ παῖδες διαλύειν τὸν γάμον αὐτοὺς ὡς διὰ ζημίαν τοὺς γονεῖς ὁποῦ ἔδωκαν τὴν προῖκα, ἢ τὴν προγαμιαίαν δωρεάν.

Ἐὰν κόρη βουληθῇ στεῖλαι τὸν ἄνδρα αὐτῆς δοκοῦσα ζημιωθῆναι τὸν πατέρα τὴν προῖκα, οὐδὲν ὠφελεῖ ἡ τοιούτη χωρησία, ἀλλ' οὖν εἰ καὶ γενῇ, ἔχει ἐξουσίαν ὁ πατὴρ νὰ ζητῇ καὶ νὰ ἐπάρουν τὴν προῖκα, κἂν πατήρ ἐστιν, κἂν μήτηρ.

Τῆς δαιμονιαραίας ὁ γάμος μένει στερεός, ποίας; ἐκείνης ὁποῦ τὴν εὕρη ἡ ἀσθένεια ἀφὸν ὁρμαστῇ· εἰ δὲ εἶχεν τὴν ἀσθένειαν πρὶν νὰ ὁρμαστῇ καὶ ὑποδειχθῇ παρ' ἀξιολόγων ἀνδρῶν, δύναται χωρισθῆναι.

Ὁ νόθος παῖς γενόμενος γνήσιος παρὰ ἐξουσίας, συνγκαταθεμένου τοῦ πατρός, οὐδὲν κληρονομεῖ εἰ μὴ τὸν πατέρα αὐτοῦ μόνον, ἀλλ' οὔτε τοὺς ἄλλους παῖδας τοῦ πατρὸς αὐτοῦ, οὔτε τοὺς ἄλλους συγγενεῖς τοῦ πατρὸς αὐτοῦ, ὅτι οὐκ ἐστιν ἐκ φύσεως νομίμου.

Ἀναγκαζέσθω ὁ ἀνὴρ πᾶσαν ἐπιμέλειαν ποιεῖν τῆς γυναικὸς τῆς δαιμονιαραίας, καὶ ταγίζειν καὶ ποτίζειν, καὶ ἐντύνειν (1), καὶ μηδὲν καταλύει τὴν προῖκα αὐτῆς κακῶς, ὅτι ἐὰν ἀποθάνῃ ἄπαις, χρεωστεῖ νὰ ἀπολογηθῇ περὶ τῆς προικὸς τὴν δαπάνην.

φ.23. | Εἴ τις γυναῖκα ἄλλου ἀνθρώπου ἐπάρων καὶ βάλῃ αὐτὴν εἰς τὸν οἶκόν του, ὡς διὰ νὰ τὴν χωρίσῃ καὶ νὰ τὴν ἔχῃ, ἐξορίζεται ἕως χρόνους γ', καὶ τὴν γυναῖκα λαμβάνει ὁ ἄνδρας αὐτῆς.

Ὁ αὐθέντης, ἐὰν ὁρμάσῃ τὸν δοῦλον αὐτοῦ, ἢ τὴν δούλην εἰς ἀπελεύθερον, μὲ τὴν εἴδησιν καὶ τὸ θέλημα αὐτοῦ, ἀπ' ἐκείνην τὴν ἡμέραν ποιεῖ αὐτὴν ἐλεύθερην καὶ οὐκ ἔχει ἐξουσία εἰς αὐτήν.

Ἐὰν ἄνθρωπος ἀφήσῃ μου ἐν διαθήκῃ κέρδος, ὁρίσῃ δέ με ὅτι μετὰ θανάτου αὐτοῦ νὰ ἐλευθερώσω τὴν δούλην του καὶ νὰ τὴν ἐπάρω εἰς γαμετήν, ἀνάγκη μου ὅτι τὴν ἐλευθερίαν νὰ τὴν ποιήσω, τὸ δὲ νὰ τὴν ἐπάρω γαμετὴν οὐκ ἀναγκάζομαι, ὅτι ἔνε εἰς τὴν προαίρεσίν μου καθὼς ὁρίζει βιβλ. μ', τίτλος ε', διάταξις ν'.

Οἱ ἀπὸ κεκωλυμένον γάμον γεννηθέντες παῖδες οὐδὲ τῆς τῶν νόθων ἀξιοῦνται ὀνομασίας.

Ἐὰν ἐπίτροπος δούλῃ τοῦ ἐπιτροπευομένου συναφθῇ δῆθεν πρὸς γάμον, καὶ τελευτῶν γράψῃ αὐτὴν κληρονόμον, ἣν οὐδὲ τῆς δεσποτείας αὐτοῦ ἀποστερῇ τὸν ἐπιτροπευόμενον ἐκ τοῦ λαβεῖν αὐτὴν πρὸς γάμον, ἀλλ' οὐδὲ ἐν διαθήκῃ γράψας αὐτὴν κληρονόμον, ἐλευθέραν αὐτὴν ἐποίησεν, ἀλλὰ χρεωστεῖ ὁρίσαι τῷ ἐπιτροπευομένῳ καταδέξασθαι καὶ παραδῶσαι αὐτῆς τὴν κληρονομίαν, καθὼς λέγει βιβλ. ς', τίτλ. κζ', διάταξις γ' τοῦ κώδικος. Μὴ δύνασθαι ἐναπόγραφον ἐλευθέραν συνσμίγεσθαι, οὐδὲ

(1) χειρ. ἐντίννειν.

γὰρ κἂν συνάψῃ τὸν τοιοῦτον ὁ δεσπότης αὐτοῦ ἐλευθέρα γυναικί, ποιεῖ αὐτὸν ἐλεύθερον· λέγει δὲ ἐν τῷ ια' βιβλ. τίτλ. ιη', διάταξις β' τοῦ κώδικος, ὡς οὐ δύναται ἐναπογράφως ποτὲ ἐλευθεροῦσθαι. Ἀνάγνωθι καὶ Νεαρὰν κβ', βιβλ. ε', τίτλ. ιη', διάταξις γ' τοῦ κώδικος.

Οὐ δύναται δευτερογαμῆσαι στανέῳ τοῦ πάτρωνος, τουτόδηλον ἐκείνου ὁποῦ ἐλευθερόνει τὴν δούλη, κἂν καὶ ἐλευθέρωσεν αὐτὴν πρότερον καὶ νομίμως αὐτῷ γαμηθεῖσα· τοῦτο γὰρ ποιοῦσα οὐδὲν ἐξιάζει ὁ γάμος ἐκεῖνος, ἀλλὰ πορνεία λογίζεται καὶ φθορά, ὡς Νεαρὰ κβ· ἀνάγνωθι τίτλ. κγ', κεφ. κθ' καὶ λ.

Οἱ ἀπὸ κεκωλυμένων γάμων τεχθέντες παῖδες, οὐδὲ τῆς τῶν νόθων ἀξιοῦνται ὀνομασίας, οὐδὲ κληρονομοῦσι τὸν ἴδιον πατέρα.

Ὁ νόθος παῖς γενόμενος γνήσιος, μόνον τὸν πατέρα κληρονομεῖ, καὶ οὐχὶ τοὺς συγγενεῖς τοῦ πατρός. Ἡ δὲ ιδ' Νεαρὰ λέγει· οὐχὶ υἱοθετεῖ τις τοὺς νόθους αὐτοῦ παῖδας εἰς ζημίαν καὶ βλάβην τῶν τέκνων καὶ συγκενῶν· λέγει δὲ καὶ τίτλος ια', διάταξις δ'· ὃν τρόπον οἱ νόθοι παῖδες κληρονομοῦσιν τὸν πατέρα καὶ ἀποτρέφονται ἐκ τῆς αὐτοῦ περιουσίας, τὸν αὐτὸν τρόπον καὶ οἱ πατέρες τοὺς νόθους παῖδας κληρονομοῦσιν καὶ ἀποτρεφέσθωσαν ἐξ αὐτούς, εἰ καὶ εὐποροῦσιν.

Οἱ ἐκ πορνείας γεγεννημένοι οὐκ ἀκολουθοῦσιν τοῦ πατρός, ἀλλὰ τῆς μητρός, τουτοδῆλον οἱ πορνικοί. Μόνοι γὰρ οἱ ἀπὸ νομίμου γάμου τεχθέντες κληρονομοῦν τὸν πατέρα.

Ἐὰν ἄνθρωπος λάβῃ σύμβιον καὶ τεκνοποιήσῃ ἐξ αὐτῆς, εἴτε μετὰ προῖκα, ἢ δίχως προῖκα, διὰ τοῦτο οὐ δύναται ποιεῖ τοὺς παῖδας ἀποκλήρους χάριν τῆς προικός, ἀλλὰ νόμιμοι ἔστωσαν.

Νόθοι εἰσιν οἱ ἐκ γυναικὸς τεχθέντες, ἣν οὐκ ὡρμάστη ὁ ἀνὴρ καὶ πατὴρ μετ' αὐτῆς. Τὸ αὐτό ἐστιν καὶ τὸ ἀπὸ σκλάβας τεχθέν, ἣν οὐκ ὡρμάστη ὁ πατήρ.

Ὅσοι γεννηθοῦν ἐκ πορνείας, σπουρίους καλεῖ αὐτούς, διὰ τοῦτο ἀκολουθοῦσιν τῇ μητρί· οἱ δὲ ἐκ γαμικῆς διαθέσεως, φ.24. οὗτοι τῷ | πατρὶ ἀκολουθοῦσιν ὡς νόμιμοι· εἰ δὲ καὶ βούλη πιστωθῆναι, λάμβανέ μοι τίτλον λε' τῶν Διγέστων, καὶ βιβλ. α', τίτλ. δ', διάταξις λγ' τοῦ κώδικος.

Αἱ θυμελικαί, ἢ πόρναι, καλῶς συνάπτονται νομίμως, ὡς δ' ἂν βούλωνται, καὶ χωρὶς βασιλικῆς κελεύσεως, ὡς αὐτεξούσιαι ὄνταις, μὴ ἔχονταις ἐπ' αὐταῖς αὐθεντικὴ ἐξουσία.

Οὐ συνάπτονται οἱ πορνικοὶ μὲ τοὺς νομίμους παῖδας, οὔτε γίνεται νόμιμος γυναῖκα τοῦ ἀνθρώπου, εἰ μὴ ὅτε πληρώσῃ μετὰ τοῦ ἀνδρὸς αὐτῆς τὰ ιβ' ἔτη.

Ἐὰν κοράσιν ὁρμαστῇ παρκάτω παροὺ τὰ ιβ' ἔτη, οὐδὲν λογίζεται ἡ ὁρμασία ἐκείνη γάμος, ἀλλὰ μνῆστα· ὅτι λέγει ὁ κανών· ἐννόμους δὲ γάμους συνιστῶσιν Ρωμαῖοι, ἡνίκα φυλάξωσιν τὰ διωρισμένα τοὺς νόμους· ὁρίζει δὲ τὰς γυναῖκας νὰ ὁρμάζουνται δώδεκα χρονῶν, τοὺς δὲ ἄνδρας νὰ ἔνε χρονῶν ιδ'· καὶ ἐὰν ὁρμαστοῦν παρκάτω εἰς τοὺς χρόνους, νὰ μὴ δὲν κοιμηθῇ ὁ ἄνθρωπος μὲ τὴν γυναῖκα, μήπως καὶ οὐδὲν δυναστῇ ἡ γυναῖκα νὰ δεχθῇ τὸν ἄνθρωπον καὶ ἔλθῃ εἰς αὔτην θάνατος· εἰ δὲ καὶ κοιμηθῇ ἄνθρωπος τῆς γυναίκας καὶ παρκάτω ἂν ἔνε παρὰ τοὺς ιβ' χρόνους, ἐξιάζει ἡ ὁρμασία· ὅτι ἂν οὐδὲν ἔνε τοῦ νόμου ἡ γυναῖκα, ὡς εἴπαμεν ἄνωθεν, ὅταν πληρώσῃ τὰ ιβ' ἔτη καὶ ἀρχεύσῃ νὰ ἐμπῇ εἰς τοὺς ιγ', δύναται νὰ ἀνατρέψῃ ἢ τὰ μνῆστρα, ἢ τὸν γάμον ἀπὸ ἔνπροσθεν τοῦ κριτοῦ, καθὼς λέγει τὸ λγ' βιβλίον.

Ἄνθρωπος ὁ μὴ ἔχων γυναῖκα, καὶ ἀγοράσει δούλην καὶ ἔχει την εἰς τὸ κρεββάτιν αὐτοῦ, ἢ καὶ ποιήσει παιδία μετ' αὐτῆς, ἢ μὴ ποιήσει, καὶ μένει ἔχων αὐτὴν μέχρι θανάτου αὐτοῦ, οὐ μόνον ἡ δούλη ἐκείνη ἐλευθεροῦται, ἀλλὰ καὶ τὰ ἐξ αὐτῆς γεννηθέντα καὶ αὐτὰ ἐλεύθερά εἰσιν· καὶ οὐ δύνανται τὰ παιδία τοῦ ἀνθρώπου ἐκείνου, ἐὰν ἔχῃ ἀπὸ ἄλλην γυναῖκα, ἢ συγγε-

νάδας ἂν ἔχῃ, νὰ δουλώσουν τὴν γυναῖκα, ἢ τὰ παιδία της, ἀλλὰ ἀπέρχουνται ἀπελεύθεροι ὅπου δ' ἂν βούλωνται.

Ἐὰν ἄνθρωπος ἐπάρῃ γυναῖκα ἄνευ προικὸς νομίμως, ἤγουν ἐκ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, καὶ τεκνοποιήσῃ ἐξ αὐτῆς, ὕστερον ἐλθὼν ὁ θάνατος εἰς αὐτήν, καὶ λάβῃ ἑτέραν γυναῖκα μετὰ προικώων πραγμάτων, οὐ δύνανται τὰ παιδία ὁποῦ ἔδωκεν ἡ μάνα των προῖκα νὰ βλάψουν τὰ παιδία τῆς ἀπροίκου μάνας, ἀλλὰ καὶ τῆς ἀπροίκου καὶ τῆς προικοδοτούσῃ ἴσον κληρονομοῦσιν τὸν ἴδιον πατέρα.

Πάλιν, ἄνθρωπος ἔχων παιδία πορνικὰ καὶ ἔχει καὶ νόμιμα παιδία, εἰς τὴν διαθήκην του οὐδὲν δύναται νὰ ἀφήσῃ τῶν παιδίων τῶν πορνικῶν εἰμὴ (1) τὸ δωδέκατον τῆς οὐσίας αὐτοῦ, καὶ τὸ ἄλλο πρᾶγμαν ὅσον εὑρεθῇ νὰ τὸ ἐπάρουν οἱ νόμιμοι παῖδες· εἰ δὲ καὶ ὁ πατὴρ οὐδὲν διαθεσθῇ οὕτως, οὐδὲν ἐξιάζει ἡ διαθήκη αὐτοῦ, ὅτι πορνικοὶ μὲ τοὺς γνησίους υἱοὺς οὐδὲν κληρονομοῦσιν. Ὅτι ἡ ἄλλη οὐσία τοῦ ἀνθρώπου εἰς τὰς οὐγγίας ψηφᾶται, ἤγουν εἰς μίαν λίτραν· διὰ τοῦτον εἶπεν ἄνωθεν, λαμβάνουν τὸ δωδέκατον, ἤγουν οὐγγίαν μίαν τῆς οὐσίας, τὸ δὲ ἕτερον ἕνδεκα οὐγγίων ἐστὶν τῶν παιδίων τῶν νομίμων, καθὼς λέγει εἰς τὰ Δίγεστα βιβλίον ι'.

Ὁ ἐν τάξει γυναίκας εὐλογητικῆς λάβῃ γυναῖκα εἰς τὸ ὁσπίτιν του, καὶ ποιήσει πρὸς αὐτὴν ὅρκον τοῦ ἔχειν αὐτὴν | ὡς γυναῖκα νόμιμην, καὶ βουληθῇ μετὰ ταῦτα διῶξαι ταύ- φ.25 την, καὶ ἐκβάλλει ἔξω τοῦ οἴκου αὐτοῦ, ὁρίζει ὁ κανὼν ὅτι νὰ τῆς δώσῃ τὸ τέταρτον τῆς οὐσίας αὐτοῦ, διότι ἔσχεν μετ' αὐτῆς γαμικὴν διάθεσιν μετὰ ὅρκου.

Οἱ πορνικοὶ παῖδες μετὰ τῆς μητρὸς αὐτῶν, ἐὰν ἐκράτησεν ταύτην ὁ πατὴρ μακροῦ καιροῦ παρακολουθήσαντος ἐν τῷ οἴκῳ αὐτοῦ ἔχων καὶ ἄλλα παιδία νόμιμα, εἰς τὸν θάνατον τοῦ

(1) χειρ. εἰμμή.

ἀνθρώπου οὐδὲν λαμβάνουσιν οἱ πορνικοὶ παρὰ τῆς πατρικῆς οὐσίας εἰμὴ οὐγγίας β′ μετὰ τὴν μάναν τους, τὰ δὲ ἕτερα πράγματα λαμβάνουν αὐτὰ οἱ γνήσιοι παῖδες, καθὼς ὁρίζει ὁ κανὼν ι′ τοῦ λ′ βιβλίου τοῦ κώδικος.

Πάλιν λέγομεν, τριγαμία νόμος οὐκ ἐστιν, διὰ τοῦτο καὶ τοὺς παῖδας τῆς τριγαμίας ὡς πορνικοὺς λογιζόμεθα καὶ ἄκληροι γένονται τῆς πατρικῆς οὐσίας, ἐὰν μὴ φιλοτιμηθῇ αὐτοὺς ὁ ἄνθρωπος καὶ εἰς τὴν διαθήκην αὐτοῦ λιγατεύσῃ ὥσπερ καὶ ξένους.

Τὰ ἄπροικα συνοικέσια, ἤγουν ὁποῦ ὁρμαστοῦσιν ἄνευ προικός, καὶ λυθοῦν, ζημιοῦται ὁ ἄνθρωπος, εἰς τὸ τέταρτον τῆς οὐσίας αὐτοῦ, ἐὰν ἐξιάζῃ τοῦ ἀνθρώπου τὸ ἐδικόν του ὅσον ρ′ λίτρας χρυσάφιν· καὶ ἐὰν ἔνε ἄνθρωπος ὁποῦ ἐποίησεν τοῦτο τὸ ἀδίκημα, καὶ ηὗρεν ἀφορμὴν καὶ ἐχωρίστη, μηδὲν τολμήσῃ νὰ δευτερογαμήσῃ μέχρι χρόνον ἕναν σῶον· εἰ δὲ γυναῖκα ὑπάρχῃ ἡ τὸν τρόπον ποιήσασα, μενέτω μέχρι διετὴν χρόνον διὰ τὴν μεταμέλειαν τῆς ὁρμασίας, ὅτι δύνανται μεταμελουμένους αὐτοὺς καὶ ψεύσασθαι εἰς τὰ πρακτέα, δύνανται πάλιν συνομιλῆσαι ἀμφοτέρους καὶ εἶναι ὡς τὸ πρότερον.

Ε. Περὶ τοὺς ἔχοντας τέλειον γάμον μετὰ γυναικὸς καὶ ἀποστρέφουνται τὸν γάμον καὶ οὐ βούλονται εἶναι μετ᾽ αὐτάς.

Ἔρχεται ἡ γυναῖκα καὶ παρίσταται μετὰ τῆς βουλῆς αὐτῆς καὶ λέγει « δέσποτα, ἡ δεῖνα, ἡ σύμβιος τοῦ δεῖνα, ἔρχεται ἔνπροσθεν τῆς ἁγιωσύνης σου, καὶ νὰ ὁρίσῃς νὰ τάξουν τὸν δεῖνα τὸν ἄνδρα αὐτῆς, ὅτι ἔχει μέγαν καιρὸν ὅτι ὡρμάστη μετ᾽ αὐτῆς τέλειον γάμον, τανῦν δὲ ἀποστρέφεται ἀπ᾽ αὐτῆς, καὶ ὅρισαι νὰ τὸν τάξουν εἰς τὴν αἴτησιν τῆς συμβίου αὐτοῦ ».

Καὶ εὐθὺς ὁ κριτὴς ὁρίζει νὰ τάξουν τὸν ἄνθρωπον ὡς διὰ

πρώτου ταξίματος, καὶ γράφει ὁ νοτάριος τὸ πρῶτον τάξιμον οὕτως « ὡρίσθη ὁ δεῖνα δεκανὸς τῆς ἐκκλησίας νὰ τάξῃ τὸν δεῖνα ὡς διὰ πρώτου ταξίματος εἰς τὴν αἴτησιν τῆς συμβίου αὐτοῦ ».

Καὶ ἂν οὐκ ἔλθῃ ἐκ τοῦ πρώτου ταξίματος, τάσσει τον τὸ δεύτερον, καὶ γράφει ὁ νοτάριος καὶ τὸ δεύτερον, ὥςπερ καὶ τὸ πρῶτον. Καὶ ἐὰν οὐκ ἔλθῃ, τάσσει αὐτὸν καὶ τὸ τρίτον, καὶ ἐὰν οὐκ ἔλθῃ, ἀφορίζει αὐτὸν ὡς φυγόδικον, καὶ γράφουν τὸν ἀφορισμὸν ἐγγράφως, καὶ κηρύσσεται ἀφωρισμένος εἰς τὴν ἐκκλησίαν καὶ εἰς τὴν χώραν. Καὶ τότε ὅταν ἔλθῃ εἰς τὸν ὁρισμὸν τῆς ἐκκλησίας, πληρόνει τὰς ἐξόδους τοῦ νοταρίου καὶ τοῦ σεργέντη ὁποῦ τὸν ἔταξεν, καὶ ὀμνύει εἰς τὰ ἅγια τοῦ θεοῦ Εὐαγγέλια κάτα τὸν τάξουν νὰ ἔρχεται εἰς τὸν ὁρισμὸν τῆς ἐκκλησίας καὶ διὰ τοῦτο καὶ δι' ἄλλην φοράν, καὶ οὕτως συμπαθοῦν του τὴν φυγοδικίαν.

Καὶ μετὰ τοῦτο καταλέγει ὁ ἀβουκάτος τὸ ἐγκάλεμα ὡς ἄνωθεν. Εἶτα τὸ ἄλλο μέρος, ἐὰν θέλῃ, ὁμολογεῖ, εἰ δὲ οὐ θέλῃ, ζητεῖ ἐγγράφως λίβελλον, καὶ ὁ κριτὴς ὁρίζει νὰ δώσουν ἐγγράφως λίβελλον, λέγων οὕτως.

| « Ἔμπροσθεν ὑμῶν, πανιερώτατε καὶ θεοτίμητε ἐπίσκοπε φ. 26
Ἀρσηνόης κῦρ δεῖνα, πρόεδρε πόλεως καὶ ἐνορίας Πάφου, παρισταμένη κἀγὼ δεῖνα θυγάτηρ τοῦ δεῖνα, σύμβιος γενομένη τοῦ δεῖνα, προβάλλομαι καὶ λέγω κατὰ τοῦ κῦρ δεῖνα καὶ συνεύνου μου, ὡς ὅτι προλαβὼν ὡρμάστην μετ' αὐτοῦ νομίμως καὶ κανονικῶς μετὰ ἱερέως καὶ ὁρισμοῦ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας· ποιήσας μετ' ἐμοῦ οὐκ ὀλίγας ἡμέρας ἀπέδρασεν ἀπ' ἐμοῦ πελλακευόμενος, καὶ οὐ βούλεται εἶναι μετ' ἐμοῦ ὡς νόμιμοι σύνζυγοι, ἀλλ' ἀποφεύγων κλεψιγαμῶν ἔνθα καὶ βούλεται. Ὅθεν αἰτῶ τὴν ὑμῶν ἁγιότητα ὡς ἵνα ἐκκλησιαστικῶς καὶ ἀποφανθικῶς ὁρίσῃς τὸν προρρηθέντα κῦρ δεῖνα καὶ ἡμέτερον σύνζυγον τοῦ ἐλθεῖν καὶ εἶναι μετ' ἐμοῦ ὡς νόμιμοι

σύνζυγοι καθὼς τὸ δίκαιον ἀπαιτεῖ. Ταῦτα δὲ λέγω σωζομένου τοῦ δικαίου καὶ τὰ ἑξῆς, προβάλλομαι δὲ τοῦ αὐξῆσαι καὶ ἐλαττῶσαι ».

Καὶ λαμβάνει ὁ ἄνθρωπος τὴν ἡμέραν τῆς σκέψεως, ἤγουν ἡμέρας δ', καὶ γράφει ὁ νοτάριος οὕτως « μηνὸς δεῖνα, ἡμέρας δεῖνα προσεκομίσθη ὁ παρὼν λίβελλος, καὶ ἐδόθη τοῦ ἄλλου μέρους ἡμέρα τῆς σκέψεως, ἡμέραι δ', μέχρι καὶ τὰς ἔτοσας τοῦ μηνός ». Καὶ ἀπέρχουνται.

Καὶ κατὰ τὴν ἡμέραν ἔρχεται τὸ ἀντίδικον μέρος, καὶ εἰ μὲν βούλεται, ὁμολογεῖ τὸν γάμον καὶ λαλεῖ καὶ τὸν τρόπον τοῦ ἀγκρίσματος, καὶ διορθοῦται παρὰ τοῦ κριτοῦ καὶ λαμβάνει τὴν συμβίον του, οὐδουμή γε (1), ζητεῖ ἡμέραν νὰ δώσῃ τὰ δίκαια κατὰ τοῦ λιβέλλου, καὶ δίδεται αὐτοῦ ἄλλας ἡμέρας δ' τῆς ἀπολογίας τῶν πρώτων δικαίων.

Πρῶτα δίκαια. Κατὰ δὲ τὴν ἡμέραν φέρνει τὰ δίκαιά του καὶ λέγει οὕτως. « Κατὰ τοῦ λιβέλλου τοῦ προσκομισθέντος παρὰ τῆς δεῖνα καὶ ὡς λέγει συμβίου μου ἀπολογοῦμαι κἀγὼ ὁ δεῖνα ἐν πρώτοις μου δικαιώμασιν, καὶ λέγω ὡς ὅτι οὐδὲν ὀφείλω τοῦ ἀπολογηθῆναι αὐτῆς ἐν τῷ λιβέλλῳ τῷ δοθέντι κατ' ἐμοῦ, διότις οὐδὲν καθαρίζει τὴν ἀψιμαχείαν ἣν λέγει κατ' ἐμοῦ, ἢ τὸν τρόπον, ἀλλὰ μόνον λέγει ὅτι ἀποστρέφομαι ἐξ αὐτῆς· διὰ τοῦτο λέγω ὅτι οὐδὲν ὀφείλω τοῦ ἀπολογηθῆναι αὐτῆς, ὡς κρύβων τὴν ἀλήθειαν, ὅταν δὲ ὁμολογήσῃ τὴν ἀλήθειαν, τότε ἀπολογήσομαι εἰς τὴν αἴτησιν αὐτῆς ».

Καὶ εὐθὺς λαμβάνει ὁ νοτάριος τὸ ἔγγραφον καὶ σημειόνει καὶ αὐτῷ τὴν ἡμέραν « Προσεκομίσθησαν τὰ παρόντα πρῶτα δίκαια, καὶ ἐδόθη τοῦ ἑτέρου μέρους ἡμέρα μέχρι καὶ τὴν δεῖνα ἡμέραν τοῦ δοῦναι τὰ δεύτερα τοῦ καθαρισμοῦ τοῦ λιβέλλου, πάλιν ἡμέραι δ' ». Καὶ ἀπέρχουνται.

(1) χειρ. οὐδοῦ μύγε.

Ὅταν δὲ ἔλθῃ ἡ ἡμέρα, ἔρχεται πάλιν τὸ ἄλλο μέρος καὶ δίδει δεύτερα δίκαια λέγον οὕτως.

Δεύτερα δίκαια. « Κατὰ τῶν πρώτων δικαιωμάτων τῶν προσκομισθέντων κατὰ τῆς ἐμῆς αἰτήσεως ἀπολογοῦμαι κἀγὼ ἡ δεῖνα καὶ λέγω, ὡς ὅτι οὐδεὶς τρόπος, ἢ ἀφορμὴ κωλύει τοὺς συνζύγους εἶναι ἐν τῷ ἅμα, ἀλλ' οὖν ὅρισαι αὐτὸν τοῦ ἐλθεῖν καὶ εἶναι μετ' ἐμοῦ, ὡς καὶ τὸ δίκαιον ἀπαιτεῖ· ὅταν θελήσῃ τι αἰτῆσαι ἐξ ἐμοῦ, ἢ τοὺς ἐμοὺς γονεῖς, ἑτοίμως ἔχομεν τοῦ ἀπολογήσασθαι, καθὼς ἀπαιτεῖ τὸ δίκαιον ».

Πάλιν τὸ ἄλλο μέρος ὁ ἄνθρωπος λαμβάνει τὸ ἴσον καὶ ζητεῖ ἡμέραν τοῦ δοῦναι τρίτα δίκαια· καὶ δίδουν αὐτοῦ ἄλλας δ' ἡμέρας, καὶ φέρνει ἐγγράφως καὶ λέγει οὕτως.

Τρίτα δίκαια. « Κατὰ τῶν δευτέρων δικαιωμάτων τῶν προσκομισθέντων παρὰ τῆς συμβίου μου κυρᾶς δεῖνα ἐν τρίτοις μου δικαιώμασιν ἀπολογοῦμαι κἀγὼ δεῖνα καὶ λέγω, ὅτι ὅπερ ἔλεξα ἐν τοῖς πρώτοις μου δικαιώμασιν, πάλιν τὸ αὐτὸ λέγω ὅτι σκοτινὰ διαλέγεται ὁ παρ' αὐτῆς δοθεὶς λίβελλος, διότι οὐδὲν λέγει τὴν ἀψιμαχείαν τὴν γεγονυῖαν ἐστὶν (1) χάριν τῆς ἐμῆς προικός, ὑποσχενθέντος τοῦ ἐπιδοῦναί μοι ποσότηταν προικὸς | τόσην, μετὰ δὲ τοῦ πληρῶσαι τὸν γάμον οὐκ ἀπέδωκάν φ.27.
μοί τι, διά τοι τοῦτο καὶ τὴν ἀψιμαχείαν ἐποιησάμην παρ' αὐτῆς· δι' ὃν ἀνάθωμαι εἰς τὴν σὴν ἁγιότητα καὶ αἰτῶ μέσην ἀπόφασιν τοῦ στρέψαι καὶ δοῦναί μοι τὰ συμφωνηθέντα, κἀγὼ ἑτοίμως ἔχω τοῦ λαβεῖν ταύτην, κατὰ τὴν αἴτησιν αὐτῆς ».

Καὶ ὁ κριτὴς διδοῖ ἡμέραν τῆς μέσης ἀποφάσεως· ὁ δὲ νοτάριος σημειόνει τὰ τρίτα δίκαια ὡς καὶ τὰ ἕτερα καὶ τὴν ἡμέραν τῆς μέσης ἀποφάσεως. Καὶ εἰς τὴν ἡμέραν ἀναγινώσκει ὁ κριτὴς τὴν ἀπόφασιν λέγων·

Μέση ἀπόφασις. « Ἐπὶ τῇ ὑποθέσει τῶν ἀμφοτέρων μερῶν,

(1) γραπτέον, ἐς τήν.

τῆς τε κυρᾶς δεῖνα ἀπὸ ἓν μέρος καὶ τοῦ κυροῦ δεῖνα καὶ συνεύνου αὐτῆς ἀπὸ τὸ ἕτερον μέρος, ἡμεῖς δεῖνα ἐλέῳ θεοῦ ἐπίσκοπος Ἀρσηνόης (καὶ τὰ ἑξῆς), σκέψαντες τὰς πράξεις αὐτῶν ἀκριβῶς, ἔχοντες δὲ καὶ βουλὴν μετὰ λογίμων ἀνδρῶν ἀποφήνομεν ἐγγράφως καὶ διὰ μέσης ἀποφάσεως ὁρίζομεν οὕτως, ἀνατρέπομεν τὰ δίκαια τὰ δοθέντα παρὰ τοῦ κυροῦ δεῖνα, καὶ ὁρίζομεν αὐτὸν τοῦ ἀπολογήσασθαι εἰς τὴν αἴτησιν τῆς συμβίου αὐτοῦ κυρᾶς δεῖνα ».

Καὶ ὁ νοτάριος σημειόνει τὴν ἡμέραν τῆς μέσης ἀποφάσεως λέγων οὕτως « Ἐδόθη ἡ παροῦσα μέση ἀπόφασις κατὰ τὴν δεῖνα ἡμέραν, παρόντος τοῦ δεῖνα καὶ δεῖνα (καὶ γράφει τοὺς μάρτυρας) ».

Καὶ μένει σιγὸς ὁ κριτὴς μέχρι καὶ ἡμέρας δέκα, μήπως βουληθῆ νὰ κράξῃ, καὶ πληρουμένων τῶν ι΄ ἡμερῶν ἔρχουνται καὶ κρατοῦν τὴν δίκην, ἤγουν γίνεται ἢ ἡ ἄρνησις, ἢ ἡ ὁμολογία, καὶ ὀμνύουν εἰς τὰ ἅγια τοῦ θεοῦ Εὐαγγέλια. Εἶτα δίδει ἡ γυναῖκα τὰ προβάλματα « Προβάλλομαι κἀγὼ ἡ δεῖνα ἐπάνω εἰς τὸν ὅρκον μου· ἔτι, ὅτι ὑπάρχω κἀγὼ ἡ δεῖνα θυγατέρα τοῦ δεῖνα· ἔτι, ὅτι καὶ ὡρμάστην μὲ τὸν κῦρ δεῖνα νομίμως καὶ κανονικῶς· ἔτι, ὅτι καὶ ἡ ὁρμασία μου μετὰ τοῦ δεῖνα ἐγένετο μὲ ὁρισμοῦ τῆς ἁγίας ἐκκλησίας· ἔτι, ὅτι καὶ ἡ ὁρμασία μας ἐγένετο ἀμφοτέρων μὲ τὴν βουλὴν καὶ θέλησιν αὐτοῦ καὶ ἐμοῦ· ἔτι, ὅτι καὶ ἐποίησεν μετ' ἐμοῦ μετὰ τὴν ὁρμασίαν ἡμέρας οὐκ ὀλίγας καὶ ἀπέδρασεν· ἔτι, ὅτι καὶ δικαίως τὸν ζητῶ ὡς νόμιμόν μου ἄνδρα ».

Καὶ αὐτὸς ἀπολογεῖται ἀπάνω εἰς τὸν ὅρκον του, ἢ ναί, ἢ οὐχί, καὶ ἐὰν ὁμολογήσῃ, διδοῖ ὁ κριτὴς ἡμέραν τῆς πληρεστάτης ἀποφάσεως, εἰδ' οὐμή γε (1) ἐὰν ἀρνηθῆ, διδοῦν τῆς γυναίκας ἡμέραν νὰ ἀποδείξῃ τὴν ἄρνησιν ἐκείνην τὴν θέλει ποιήσειν,

(1) χειρ. ἰδουμύγε.

καὶ ἐπάνω εἰς τὴν ἄρνησιν ἔρχουνται οἱ μάρτυρες καὶ ἐρωτοῦνται εἷς καθεὶς εἰς τὰ ὄπισθεν προβάλματα, καὶ γράφει ταῦτα ὁ ἀβικάριος ἑρμηνεύων, ἢ ὁ ἀρχιερεὺς πρὸς τὸν νοτάριον (καὶ γράφε ταῦτα). Ὕστερον ἀναγινώσκουνται ἔνπροσθεν τῶν μερῶν εἰς ἡμέραν τακτήν, ὅταν τοὺς ἐρωτήσουν καὶ εἴπουν ὅτι οὐδὲν ἔχουν πλεῖον μάρτυρας. Καὶ τὸ ἕτερον μέρος, ἤγουν τὸ ἀντίδικον, λαμβάνει τὸ ἴσον τῶν μαρτύρων, καὶ ζητεῖ καὶ ἡμέραν νὰ εἴπῃ κατ' αὐτῶν, καὶ δίδουν αὐτοῦ. Ἐρχομένης τῆς ἡμέρας τῆς δοθείσης αὐτοῦ, ἐὰν θέλῃ νὰ εἴπῃ κατὰ τῶν μαρτύρων, λέγει, εἰδ' οὐ μή γε (1), θέτει τὴν κρίσιν καὶ ζητεῖ ἀπόφασιν· εἰ δὲ εἴπῃ κατὰ τῶν μαρτύρων, λαμβάνει ἡ ἄλλη μερaία ἡμέραν νὰ σηκώσῃ τοὺς μάρτυρας αὐτοῦ. Καὶ οὕτως γενομένων θέτει καὶ αὐτὸς εἰς τὸν κριτήν, καὶ ζητεῖ καὶ αὐτὸς ἀπόφασιν πληρεστάτην. Καὶ ὁ κριτὴς διδοῖ ἡμέραν τῆς τελείας ἀποφάσεως· καὶ εἰς τὴν ἡμέραν γράφει ὁ κριτὴς τὴν ἀπόφασιν καὶ ἀναγινώσκει αὐτὴν παρουσίᾳ τῶν μερῶν καὶ τῆς κρίσεως.

| Ἀπόφασις πληρεστάτη. « Γινωσκέτωσαν πάντες ὡς ἔν- φ.28.
προσθεν ἐμοῦ τοῦ νοταρίου καὶ μαρτύρων τῶν κάτωθεν δηλωθησομένων ὁ πανιερώτατος καὶ θεοτίμητος ἐπίσκοπος Ἀρσηνόης κῦρ δεῖνα, πρόεδρος πόλεως καὶ ἐνορίας Πάφου ἔκδωκεν πληρεστάτην ἀπόφασιν περιέχων οὕτως — Γινωσκέτωσαν πάντες οἱ τὴν παροῦσαν πληρεστάτην ἀπόφασιν ἀναλαβόντες καὶ ἀκούσαν[τες], ὅτι ἡμεῖς δεῖνα διὰ τῆς χάριτος τοῦ θεοῦ ἐπίσκοπος Ἀρσηνόης, πρόεδρος πόλεως καὶ ἐνορίας Πάφου, γνωρίσαντες ἀπὸ τὴν ὑπόθεσιν τῶν μνήστρων τῶν γεναμένων ἀναμεταξὺ τῆς δεῖνα καὶ τοῦ δεῖνα, οὕτινος δεῖνα λίβελλος ἐδόθη κατὰ τοῦ μνηστοῦ αὐτῆς δεῖνα εἰς πληρεστάτην δίκην περιέχων οὕτως (καὶ γράφε τὸν λίβελλον ὅλον), δίκης κρατηθείσης νομίμου εἰς

(1) χειρ. ἰδουμήγε.

αὐτό, ὅρκων γενομένων τοῦ εἰπεῖν τὴν ἀλήθειαν, ἐρωτήσεων καὶ ἀποκρίσεων κεφαλαίων δοθέντων, μαρτύρων προσκομισθέντων, δι' ὅρκων στενευθέντων, καὶ τὰ λαληθέντα παρ' αὐτῶν πιστῶς γραφέντα καὶ διὰ συγκαταθέσεως τῶν μερῶν ἀναγνωσθέντα καὶ κηρυχθέντα, ὕστερον ἀσφαλήσαντο τὴν δίκην καὶ αἰτήθησαν τὴν ἀπόφασιν, καὶ ἐδόθη αὐτοῖς ἡμέρα τοῦ πληρεστάτην ἀπόφασιν ἀκοῦσαι, ἧς (1) ἡμέρας κρεμμαμένης, ἐρευνήσαντες τὰς πράξεις αὐτῶν ἀκριβῶς, ἔχοντες δὲ καὶ βουλὴν μετὰ λογίμων ἀνδρῶν ἀποφήνομεν οὕτως, ὡς ὅτι ἡ κυρὰ δεῖνα τὴν ἔννοιαν αὐτῆς καλῶς ὑπέδειξεν ἡμῖν· ὅθεν ὁρίζομεν τὸν προρρηθέντα δεῖνα τοῦ εἶναι μετὰ τῆς δεῖνα, ὡς ἔχοντες τέλειον γάμον καθὼς ἀπαιτεῖ τὸ δίκαιον. Περὶ δὲ τῆς προικός, ἢ ἑτέρων ζητημάτων ὧν ἔχει παρ' αὐτῆς αἰτῆσαι, μετὰ τὴν σύσμιξιν ἑτοίμως ἔχομεν τοῦ αὐκροάσασθαι αὐτοῦ καὶ ποιῆσαι δίκαιον ὡς ὤφειλεν. Ἐγράφη, ἀνεγνώσθη, ἐκηρύχθη ἡ παροῦσα ἀπόφασις, παρόντος τοῦ δεῖνα καὶ δεῖνα, μηνὸς δεῖνα, ἡμέρας δεῖνα καὶ ἔτους δεῖνα ».

Καὶ μετὰ τὴν ἀνάγνωσιν ἀπέρχουνται εἰς τοὺς οἴκους αὐτῶν εἷς ἕκαστος, καὶ καρτερεῖ ὁ κριτὴς μέχρι καὶ ἡμέρας ι'· καὶ ἐὰν λάβῃ τὴν γυναῖκα καὶ ἦνε μετ' αὐτῆς δόξα τῷ θεῷ, εἰ δὲ οὐχ ὑπάγῃ εἶναι μετ' αὐτῆς, διαβὸν τὰς ι' ἡμέρας στενεύει τὸν ἄνθρωπον ὁ κριτὴς μέχρις ὅτου πληρώσῃ τὴν ἀπόφασιν τὴν δοθεῖσαν παρὰ τῆς ἐκκλησίας.

ΣΤ. Περὶ ὅρου καὶ διαθέσεως γάμου (2).

Γάμος ἐστὶν ἀνδρὸς καὶ [γυναικὸς] συνάφεια, ἤγουν σύσμιξις καὶ συμπλήρωσις, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία.

(1) χειρ. εἷς.

(2) Ἐν τῷ περιθωρίῳ « ζήτει ἔνπροσθεν κεφάλαιον ».

Δεῖ δὲ τὸν ἄνθρωπον καὶ τὴν γυναῖκα ὁποῦ μέλλουν ὁρμαστῆναι τοῦ εἶναι αὐτοὺς ἀμφοτέρους μιᾶς πίστεως, καὶ οὐχὶ ἄλλως.

Πρὸς τοὺς ἀνθρώπους ὁποῦ ἄλλης πίστεως εἶναι, ἢ καὶ ὁρμαστῇ κἂν ἄνθρωπος, κἂν γυναῖκα, ἡ. ὁρμασία ἐκείνη οὐδὲν ἀξιάζει.

Γάμος οὐδὲν γένεται, ἀνὲν καὶ καθίσῃ ἄνθρωπος μετὰ τῆς γυναικός, ἢ ἀνὲν καὶ συντύχῃ της, ἂν μὴ ἂν τῆς ἐσμικτῇ, τότε γίνεται καὶ καλεῖται γάμος. Τοῦτο ὁρίζομεν, ἐὰν ἔνε αὐτεξούσιοι, ἢ ὑπεξούσιοι, ἤγουν μὲ τὸν ὁρισμὸν τοὺς γονεῖς αὐτῶν, ὅτι ὁρίζουν οἱ θεῖοι νόμοι: Ἐννόμους δὲ γάμους πληροῦσιν οἱ Ρωμαῖοι, ὅταν ἔνε ὁ ἄνθρωπος χρονῶν ιδ' καὶ ἄνωθεν, ὁμοίως καὶ ἡ γυναῖκα νὰ ἔνε χρονῶν ιβ' καὶ ἄνωθεν, θέλῃς αὐτεξούσιοι, θέλῃς ὑπεξούσιοι.

Ἐὰν ὡρμάστη γυναῖκα δίχως τὸν ὁρισμὸν τοὺς γονεῖς αὐτῆς καὶ ἐποίησεν παιδίν, οὐδὲν καλεῖται εἰς τὴν κληρονομίαν τοῦ | πάππου, διότις ὁ γάμος ἐγένετο δίχως τάξιν ὡς γεναμένου ἔξω τοῦ ὁρισμοῦ τοῦ πατρός. φ. 29.

Ὁ αὐτεξούσιος υἱός, τουτοδῆλον ὁποῦ ἔνε ἔξω ἀπὸ τὸ ψωμὶν τοῦ πατρὸς αὐτοῦ, ἔχων τελείαν τὴν ἡλικίαν δύναται καὶ χωρὶς τὸν ὁρισμὸν τοῦ πατρὸς νὰ ὁρμαστῇ, ἤγουν ὁ ἄνθρωπος νὰ ἔνε ἀπὸ τοὺς ιε' χρόνους ἕως τοὺς ιη', ἡ δὲ κόρη νὰ ἔνε ἀπὸ τοὺς ιε' ἕως τοὺς κε', καὶ προικίζονται παρὰ τοῦ πατρὸς τῆς κόρης, ἐξουσίᾳ τοῦ ἄρχοντος, εἰ μὴ βούλωνται οἱ γονεῖς.

Καὶ ὁ πάππος καλῶς συναινεῖ, μὴ ὄντος πατρός, εἰς τὴν ὁρμασίαν, διότις πρῶτος γονεὺς ὁ πάππος ἐστίν.

Καὶ ἐὰν ὁ πατὴρ ὑπάρχῃ δαιμονιάριος, ὁ πάππος δύναται συναινεῖν τῷ γάμῳ, διότις ὁ υἱὸς οὐκ ἐστιν ἐρρωμένος τὸν νοῦν· ὡςαύτως καὶ ἐὰν ὁ πάππος μαίνεται, ὁ πατὴρ τῆς κόρης οὐ χρήζει τὴν σύναισιν (1) τοῦ πάππου.

(1) γραπτέον, συναίνεσιν.

Αὐτεξουσία κόρη θέλει νὰ δευτερογαμήσῃ ἄνευ τοῦ ὁρισμοῦ τοῦ πατρὸς αὐτῆς, μὴ δευτερογαμήσῃ· εἰ δὲ ἐτελεύτησεν ὁ πατήρ, μὲ τὸν ὁρισμὸν καὶ τὴν βουλὴν τοῦ κοντότερα συγγενοῦς αὐτῆς ἂς ὁρμαστῇ μὲ τὸν ὁρισμὸν τοῦ κριτοῦ τῆς χώρας· καὶ ὅπου θελήσει ἡ γυναῖκα ὁρμάζεται, διότις αὐτεξουσία ἐστίν, καὶ κάλλιον ἐνε τὸ θέλημάν της παροῦ τὸ θέλημα τοὺς γονεῖς αὐτῆς.

Ἀκομὴ κόρη ὁποῦ διαβῇ τοὺς κε΄ χρόνους, καὶ οὐδὲν τὴν ὁρμάσῃ ὁ κῦρίς της, δύναται ἡ κόρη νὰ ὁρμαστῇ μοναχὴ δίχως τὸ θέλημα τοὺς γονεῖς αὐτῆς. Καὶ ἐὰν δυναστεύεται παρὰ τοὺς γονεῖς μηνυέτω τῷ ἐπάρχῳ, καὶ ὁ ἔπαρχος νὰ δώσῃ ὁρισμὸν τῆς ὁρμασίας.

Ἐὰν αὐτεξουσία κόρη ὁρμαστῇ μὲ ἄνθρωπον οἷον οὐδὲν τῆς πρέπει, ἔξω τοῦ ὁρισμοῦ τοῦ πατρὸς αὐτῆς, δύναται ὁ πατὴρ νὰ ποιήσῃ τὴν θυγατέραν αὐτοῦ ἀπόκληρην, νὰ μὴ δὲν κερδαίσῃ ἀπὸ τὸ γονικὸν αὐτῆς τίποτε, καθὼς λέγει βιβλ. λζ΄ τίτλος α΄, διάταξις ις΄.

Οἱ συγκλητικοὶ μὴ ἀγαγέσθωσαν ἀπερριμμένας γυναῖκας, τουτέστιν τὰ ἀρχοντόπουλλα ἢ οἱ ἔχοντες ἐξουσίαν μὴ δὲν ἐπάρουσιν γυναῖκας ἀναξίας ἐκείνους, οἷον δούλην, ἢ θυγατέραν δούλης, ἢ ὁποῦ ἦτον δούλη καὶ ἐλευθερώθη, ἢ τὴν κόρην της, ἢ πορνικάς, ἢ ἄλλας [τὰς] οὐδὲν πρέπουν, καθὼς λέγει βίβλος α΄, τίτλος θ΄, διάταξις θ΄.

Ὁμοίως καὶ θυγατέρα ἀξιωματικοῦ μὴ λάβῃ ὁρμασία ἀπρεπὲς αὐτῆς· εἰ δὲ καὶ ἐβγῇ ἀκομὴ καὶ ὁ κῦρίς της ἀπαὶ τὸ ἀξίωμα, [οὐδὲν] ἐξιάζει ἡ ὁρμασία, διότις ἐξαρχῆς ἦτον ὁ γάμος δεφεντεμένος διὰ τὸ ὁ πατὴρ ἦτον εἰς τὸ ἀξίωμα.

Ἐάν τις, ἄνευ νὰ ἔνε ἐκεῖνος τὸ σῶμάν του ἐκεῖ, δύναται διὰ γραφῆς αὐτοῦ καὶ διὰ ἀποκρισιαρίου καὶ νὰ ἔχῃ ἐξουσίαν αὐτοῦ ὡς προκουράτωρος, δύναται ποιῆσαι ὁρμασίαν εἰς αὐτόν, καὶ νὰ τὴν φέρῃ καὶ εἰς τὸ ὁσπίτιν του, καὶ ἡ ὁρμασία ἐξιά-

ζει· καὶ ἐὰν ἀποθάνῃ ὁ ἄνθρωπος, χρεωστεῖ ἡ γυναῖκα νὰ τὸν κλαύσῃ καὶ νὰ ζητήσῃ δίκαια προικός.

Ἡ (1) παρκάτω τῶν ιβ΄ χρονῶν (2) ἐὰν ὁρμαστῇ, ὀφείλει νὰ μηδὲν μιγῇ μετ' αὐτῆς, ἕως οὗν ἀπληρώσει τὰ ιβ΄ ἔτη μετ' αὐτοῦ.

Εἰ δὲ ἠγόρασεν ὁ ἄνθρωπος γυναῖκα ὡς διὰ νὰ τῆς ὁρμαστῇ, καὶ ἐκεῖνος ἀντιδικῇ νὰ μηδὲν τῆς ὁρμαστῇ, ἐὰν ἀποδειχθῇ τὸ τοιοῦτον στοίχημα, χρεωστεῖ ὁ ἀρχιερεὺς νὰ τὸν στενεύσῃ νὰ ὁρμαστῇ, καὶ ἐὰν οὐχ ὑπακούσῃ, | ἐλευθεροῦται ἡ φ. 30. δούλη.

Οὐ πᾶσα συνάφεια πληροῖ γάμον πρὸς ἐκείνην ὁποῦ οὐδὲν ἔχει ἡλικίαν γάμου, ἀλλὰ καὶ ἂν ἔνε καὶ ὁ γάμος παράνομος, δύναται νὰ λύσῃ τὸν γάμον τὸ ἄλλο πρόσωπον καὶ νὰ ὁρμαστῇ μὲ ἄλλον.

Ὁμοίως καὶ ὁ ἐξηπαρθενεύσας κόρην πρὸ τοῦ νὰ γένεται ἡ κόρη χρονῶν ιγ΄, ἐὰν οὐδὲν τῆς ὁρμαστῇ, χρεωστεῖ πρὸς τὴν κόρην ἣν ἔφθειρεν τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ, καθὼς ὁρίζει βίβλος λε΄, τίτλος α΄, διάταξις ι΄.

Ἡ ὀρφανὴ ἔχει ἐξουσίαν νὰ ὁρμαστῇ ὅπου ἀρεστῇ, δίχως τὸν ὁρισμὸν τοῦ κουρατόρου αὐτῆς, ὅτι ὁ ἐπίτροπος ἐπιτροπεύει εἰς τὰ ὁρισθέντα τῆς διαθήκης, ὁ δὲ κουράτωρ δίδοται πρὸς τὴν κόρην, ἢ πρὸς τὸν νέον, μέχρι κε΄ χρόνων, νὰ μὴ δὲν καταλυθῇ τὸ πρᾶγμα τῆς ὀρφανῆς, ἡ δὲ ὁρμασία ἔνε εἰς τὸ θέλημα τῆς κόρης.

Ἐὰν ἀποδῷ τὰ στοιχήματα ὁ ἐπίτροπος πρὸς τὸν κουράτοραν νὰ ὁρμαστῇ μὲ τὴν ὀρφανήν, οὐδὲν δύναται νὰ τῆς ὁρμαστῇ, ἐὰν μὴ πληρώσῃ τὰ κε΄ ἔτη· εἰ δὲ καὶ συναφθῇ μετ' αὐτῆς πρὸ τούτου, δύναται κατηγορεῖσθαι ὡς μοιχὸς καὶ ὁ γάμος οὐδὲν ἐξιάζει.

(1) χειρ. ἡη. (2) χρόνῶν.

Ο ἐπίτροπος οὐ δύναται λαβεῖν τὴν ὀρφανὴν πρὸς γάμον, ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ δύναται ὁρμαστῆναι μετ' αὐτῆς, ἐὰν μὴ ἐν τῷ καιρῷ τοῦ θανάτου καὶ τῆς ἐπιτροπῆς διωρίσατο ὁ πατὴρ τῆς κόρης τοῦ ὁρμαστῆναι μετ' αὐτῆς.

Ὁ πατὴρ ὁποῦ οὐδὲν ἀντιδικεῖ τὴν ὁρμασίαν τοῦ υἱοῦ του αἰσχρᾶς γεναμένης, δοκεῖ τοῖς νόμοις ὅτι μὲ τὸν ὁρισμόν του γένεται ἡ ὁρμασία, καὶ διὰ τοῦτο καὶ τὰ παιδία τοῦ υἱοῦ του γίνουνται γνήσιοι ἔγγονοι καὶ τρέφουνται παρὰ τοῦ πάππου, καὶ διὰ τῆς σιγῆς αὐτοῦ οὐ δύναται τοὺς ἔγγονας αὐτοῦ.

Καὶ ἐὰν ὁ υἱός μου λάβῃ γυναῖκα μὲ τὸν ὁρισμόν μου καὶ ἀπορεῖ, κἀγὼ ὁ πατὴρ εὔπορος ὑπάρχω, ὑπόκειμαι τοῦ τρέφειν τοὺς παῖδας τοῦ υἱοῦ μου.

Ἐὰν λάβῃ ἄνθρωπος κόρην εἰς υἱοθεσίαν, οὐ δύναται ὁρμάσαι τὸν υἱόν του μετ' αὐτῆς, ἐὰν μὴ αὐτεξουσιάσῃ τὸν υἱὸν αὐτοῦ, ἢ ἐκείνην τὴν ἐπῆρεν εἰς υἱοθεσίαν, εἰ δὲ ἀλλέως γεναμένης τῆς ὁρμασίας, δύνανται χωρισθῆναι.

Ὁ ἔχων ἐξουσίαν εἰς χώραν, καὶ ἔχει υἱὸν ἢ συγγενεῖς, οὐ δύναται ὁρμᾶσαι αὐτοὺς εἰς τὸν λαὸν ὃν ἔχει ἀποκάτου του, δοκεῖ γὰρ δυναστεύειν τὰς ὁρμασίας, καὶ οὐδὲν ἐξιάζει ὁ γάμος ἐκεῖνος. Τοῦτο διώρισται παρὰ τοῦ εὐσεβεστάτου βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, ἐὰν μὴ γένεται ἡ ὁρμασία ἐξ ἀρεσκείας ἀμφοτέρων, πρῶτον ἀναφέρωσιν τὴν ὁρμασίαν τῇ βασιλείᾳ, καὶ οὕτως προστάξει τῆς βασιλείας ὀφείλει γενέσθαι.

Ἐὰν ὑπάρχῃ ἄνθρωπος ἐλεύθερος, ἢ ὁμοίως καὶ γυναῖκα, καὶ ὁρμαστοῦν ἀμφότεροι ὡς δοκοῦντες ὅτι ἐλεύθεροι ὑπάρχουν, ὕστερον φανῇ τὸ ἓν πρόσωπον ὅτι ἔνε δοῦλος, ἢ χρεωστεῖ παροικείαν αὐθέντου τινός, δύναται ἐμφανῆσαι τῷ κριτῇ καὶ χωρισθῆναι.

Ἐὰν παρὰ τὰς διατάξεις τὰς ὡρισμένας ἐκ τῆς ἐπαρχίας ἐν ᾗ ἐγχειρίζεται ἐπάρῃ γυναῖκα μετὰ τὴν συγκατάθεσιν καὶ

θέλημα αὐτῆς, ὁ γάμος ἄχρηστός ἐστιν, τὰ παιδία δὲ τὰ ποιήσει μὲ ἐκείνην τὴν γυναῖκα ἔνε νόμιμα παιδία τοῦ πατρὸς αὐτῶν· τέως ἐὰν τὸ ποιήσῃ αὐτὸ καὶ ἐπάρῃ τὴν | ἄνω- φ. 31. θεν ρηθεῖσαν γυναῖκα, ἐπιδίδει πρόστιμον πρὸς τὴν ἐξουσίαν δέκα λίτρας χρυσαφίου καὶ ἐκβάλλεται τῆς ἐξουσίας.

Πάλιν ὁρίζομεν ὅτι υἱός, ἢ κόρη δαιμονιαρίου ὁποῦ πέφτει ἀπὸ κακὴν ἀσθένεια, ἢ ἐκείνου ὁποῦ κρατηθῇ εἰς πόλεμον, ἔχει ἄδειαν νὰ ὁρμαστῇ ὁ ἄνθρωπος γυναῖκα, καὶ ἡ γυναῖκα ἄνδρα, δίχως νὰ καρτερέσουν τὸν ὁρισμὸν τοῦ πατρὸς αὐτῶν· οὐδὲ ἀνθρώπου ὁποῦ αἰχμαλωτισθῇ ἡ γυναῖκά του οὐδὲν δύναται νὰ ὁρμαστῇ ἕως ὅτου ἀκούῃ ὅτι ζῇ ὁ ἀνὴρ αὐτῆς· ἀμφιβαλλομένης τῆς ζωῆς αὐτοῦ, χρήζει νὰ καρτερέσῃ ἕως ε' χρόνους, καὶ τότε νὰ ὁρμαστῇ, καθὼς μαρτυρεῖ βίβλος κγ', τίτλος δ', διάταξις η'.

Καὶ οἱ τοῦ ἄφρονος, ἤγουν τοῦ μωροῦ, καὶ οἱ τοῦ δαιμονιάρου παῖδες καλῶς λαμβάνωσιν γυναῖκας εἰς γάμον καὶ διδοῦν προῖκας καὶ προγάμου δωρεὰς διὰ τοῦ κουρατόρου ἐκείνου οὗ δέδωκεν ἡ ἐκκλησία, ἢ ἡ ἐξουσία, τουτοδῆλον μὲ τὸν ὁρισμὸν τῆς ἐξουσίας, ἢ τοῦ ἐπάρχου τῆς πόλεως, πλὴν χρεωστοῦσιν νὰ τὸ δώσουν εἴδησιν καὶ τοὺς καλλιωτέρους (1) συγγενεῖς αὐτῶν καὶ νὰ γράψουν καὶ τὴν προῖκα ἐγγράφως, ἵνα μὴ μετὰ καιρὸν γίνεται χρῆσις καὶ βλαβοῦν οἱ παῖδες διὰ τὴν ἀφορμὴν ὅτι ἔνε παῖδες μωρῶν, ἢ δαιμονιάρων. Πάλιν λέγομεν, ὅ,τι ἀνδρόγυνον ὡρμάσθη, ἐὰν συμβῇ καὶ δαιμονιστῇ, ἠμπορεῖ ἡ ἐκκλησία, ἐὰν ποιήσῃ ἔρευναν καὶ εὕρῃ ὅτι εἶχεν τὴν ἀρρωστίαν πρὶν νὰ ὁρμαστῇ, χωρίζεται· εἰ δὲ εὑρεθῇ ὅτι ἀφὸν ὡρμάστη ἐσυνέβη αὐτῆς ἡ ἀρρωστία, μένει μὲ τὸν ἄνδραν αὐτῆς ἕως θανάτου αὐτοῦ.

Ἐὰν ὁ πατὴρ αἰχμαλωτισθῇ καὶ ἔμεινεν εἰς τὴν αἰχμαλωσίαν μέχρι καὶ γ' χρόνους, καὶ ἐγνωρίσουν τὰ παιδία του ὅτι

(1) χειρ. καλλοιωτέρους.

ἕνε εἰς τὴν δεῖνα χώραν αἰχμάλωτος, δύνανται τὰ παιδία νὰ ὁρμαστοῦν νόμιμον γάμον· εἰ δὲ καὶ πρὸ τῶν τριῶν χρόνων ἐλευθερωθῇ ὁ πατήρ, ἐὰν ἀρεσθῇ ὁ πατήρ, μένει ὁ γάμος, εἰ δὲ οὐκ ἀρεσθῇ, δύναται χωρίσαι αὐτούς· εἰ δὲ οὐκ ἀκούσωσιν, δύναται ὁ πατὴρ λαβεῖν τὴν οὐσίαν ὅλην ὡς ἐδικόν του πρᾶγμα καὶ τοὺς παῖδας ποιῆσαι ἀποκλήρους.

Ὁ ἀγοράσας αἰχμάλωτην καὶ μιγῇ μετ' αὐτῆς, εἶτα βουληθῇ πωλῆσαι αὐτήν, οὐκ ἔχει ἐξουσίαν, ὡς ἀγοράσας διὰ τῆς μίξεως τὴν τιμὴν αὐτῆς, καί ἐστιν ἐλεύθερος. Καὶ ἐὰν ποιήσῃ παιδία μετ' αὐτῆς μένουν παρὰ τοῦ πατρός, καὶ κληρονομοῦν μετὰ θάνατον ὡς γνήσιοι παῖδες, εἰ μὴ ὑπάρχουν ἕτεροι παῖδες ἐξ ἐννόμου γάμου.

Ὁ ἐξ ἰδίου κόπου καὶ μόχθου ἀγορασθεὶς οὐ δύναται εἶναι ὑπεξούσιός τινος, ἢ πατρός, ἢ συγγενῶν.

Οὐ δύναται τὴν ὑπὸ ἄλλου ἐλευθερωθεῖσαν γαμεῖσθαι ὑπὸ ἄλλου, ἄνευ τῆς εἰδήσεως τοῦ ἐλευθερώσαντος αὐτήν.

Ἐξορία γάμον οὐ λύει, ἀλλὰ μένει κατὰ τὴν προγεγραμμένην νομοθεσίαν παρελθόντος τῆς τριετίας, ἢ πενταετίας.

Η παλλακὴ τοῦ ἰδίου αὐθέντου γενομένη ἀπελεύθερη, καὶ στανέῳ τοῦ αὐθέντη της ἐὰν ὑπάγῃ καὶ ὁρμαστῇ, ἡ ὁρμασία, ἐὰν οὐδὲν θελήσει ὁ αὐθέντης της, οὐδὲν ἐξιάζει.

Ὅπου ἐπάρῃ γυναῖκα εἰς τὸ ὀσπίτιν του παρκάτω παροῦ οὐδὲν ἕνε ἐκεῖνος, ἂς τὴν παραστήσῃ εἰς τὴν ἐκκλησίαν καὶ ἂς θέσῃ μαρτυρίαν ἐπάνω της ὅτι ἐπαίρνει την ὡς δουλεύτριάν
φ. 32. του εἰς τὸ ὀσπίτιν του, ὅτι ἐὰν μιγῇ μετ' αὐτῆς νὰ λογισθῇ | ὡς καύκαν του, εἰδ' οὐ μή γε καὶ λάβῃ την ἀμάρτυρον καὶ μιγῇ μετ' αὐτῆς, λογίζεται ὡς γυναῖκάν του, καὶ τὰ παιδία τὰ ποιήσει μετ' αὐτῆς ἔστιν νόμιμα.

Ἂν δανειστῶ ἀπὸ γυναικὸς νομίσματα, ὕστερον ὁρμαστῶ μετ' αὐτῆς εἰς νόμιμον γάμον, οὐδὲν χρεωστοῦν τὰ περπύρατα νὰ λογισθοῦν εἰς χρέος, ἀλλὰ μένουν ἀνώνυμα.

Υἱὸς ὁποῦ ἔνε εἰς τὸν ὁρισμὸν τοῦ πατρός, ἤγουν ὑπεξούσιος, κακῶς πολιτευόμενος ἂς τὸν ὁρμάσῃ ὁ πατήρ, θέλῃ, κἂν οὐ θέλῃ, διὰ τὸ μὴ δὲν πέσῃ εἰς πλεῖον ἀτιμίαν καὶ ζημίαν τοῦ πατρὸς καὶ τῶν συγγενῶν.

Ὁ δὲ υἱὸς ὁ βουλόμενος ἐν σωφροσύνῃ ζῆσαι μὴ ἀναγκασθῇ ὁ πατὴρ τοῦ ὁρμᾶσαι αὐτόν, ὅτι κάλλιόν ἐστιν ἡ εὐγένεια παρὰ τὴν ὁρμασίαν.

Καὶ ὁ κωφὸς καὶ ὁ ἄλαλος, ἤγουν ὁ βωβός, δύναται ὁρμαστῆναι, καὶ ὁ τεχθεὶς υἱὸς γνήσιός ἐστιν τοῦ πατρός, ὡς γεναμένης πρὸς τὸν πατέρα νόμιμος γάμος.

Καὶ ὁ μὲν ἔχων τοὺς ὄρχεις ἐν τοῖς νεφροῖς δύναται καὶ αὐτὸς ὁρμαστῆναι, ὁ δὲ εὐνοῦχος οὐ δύναται ὁρμαστῆναι· ὅτι τρεῖς εὐνοῦχοί εἰσιν ὁ θλιβίας, ὁ καστράτος καὶ ὁ μαλακὸς ἐκ κοιλίας.

Ὁ πρὸς ἐλευθέραν κόρην ποιήσας ἐπ' αὐτῆς πόρον, ἤγουν ἐξηπαρθενέψει αὐτήν, ἀπ' αὐτὴν τὴν ἡμέραν ἐστὶν γυναῖκά του, ὥςπερ νὰ εἶχέν της ὁρμαστῆν καὶ τότε νὰ μιγῇ μετ' αὐτῆς.

Εἰ δὲ ἡ κόρη διαβῇ τοὺς κε' χρόνους καὶ δώσῃ ἀνθρώπου μιγῆναι μετ' αὐτῆς, οὐ δοκεῖ βία γενέσθαι εἰς αὐτήν, ἀλλ' ἰδιοπροαιρέτως, ὡς μοιχὸς λογίζεται καὶ μὲ τὸ θέλημαν αὐτῆς ἐφθάρη.

Πάλιν λέγομεν ἡ δοκοῦσα λαβεῖν χρήματα παρά τινος ἀνδρὸς καὶ μιγῇ ὁ ἀνὴρ μετ' αὐτῆς, δοκεῖ ἀγοράζειν τὴν μίξιν, καὶ οὐδὲν βλαβερὸν ἕξει ὁ φθείρας αὐτήν.

Ὁμοίως γέγραπται ἐν τοῖς ἀρχαίοις νόμοις ὅτι ὁ βουλόμενος λαβεῖν γυναῖκα μέχρι καὶ τέσσερα στεφάνια ἠμπορεῖ νὰ λάβῃ, εἰ δὲ τὴν σήμερον οὐ δύναται ἄνθρωπος νὰ λάβῃ εἰ μὴ δεύτερον γάμον, καὶ τοῦτο παραχωρεῖ ἡ ἐκκλησία διὰ τὴν νεότηταν τοῦ ἀνδρός, ὅτι τῆς γυναίκας ἐδόθη νόμος τῆς δευτερογαμίας, τοῦ δὲ ἀνθρώπου οὐχί, ἀλλὰ μίαν.

Ἔστω καὶ τοῦτο φανερὸν τοῖς πᾶσιν, ὅτι εἴ τις τολμήσῃ

πρὸς τέταρτον ἢ τρίτον γάμον προσελθεῖν, οὐ μόνον ὁ τοιοῦτος γάμος λογισθήσεται εἰς οὐδέν, ἀλλὰ καὶ τὰ παιδία ὁποῦ γεννηθοῦν ἀπ' ἐκείνους τοὺς γάμους οὐ λογίζουνται νόμιμοι παῖδες, ἀλλὰ ἀνομίας υἱούς, καὶ οὐ κληρονομοῦσιν ἐκ τῶν πατρικῶν οὐδέν, ἐὰν μὴ βουληθῇ ὁ πατὴρ ὡς ξένους δῷ πρὸς αὐτούς τι μικρὴν φιλοτιμίαν ἐν τῇ διαθήκῃ αὐτοῦ, καὶ ἄλλως οὐχί.

Ζ. Περὶ τοὺς λυομένους τὸν γάμον, ἢ τὴν μνηστείαν, ἀφορμῆς ὅτι ἐνελαβώθην αὐτοὺς ὁ πατὴρ αὐτοῦ διὰ τῆς ἁγίας κολυμβήθρας, ἤγουν τοῦ ἁγίου βαπτίσματος.

Παρίσταται ὁ ἄνθρωπος, ἢ ἡ γυναῖκα μὲ τὸν ἀβουκάτον αὐτοὺς ἔνπροσθεν τοῦ κριτοῦ, ἢ πολλάκις τοῦ ἀρχιερέως, καὶ λέγει οὕτως, « δέσποτα, δέεται τὴν ἁγιωσύνην σου ἡ δεῖνα ὅτι νὰ ὁρίσῃς νὰ τάξουν τὸν δεῖνα ἄνθρωπον νὰ ἔλθῃ ἔνπροσθεν τῆς ἁγιωσύνης σου. » Καὶ ὁρίζει καὶ τάσσουν αὐτὸν πρῶτον τάξιμον, καὶ γράφει ὁ νοτάριος οὕτως « ὡρίσθη ὁ δεῖνα δεκανὸς νὰ τάξῃ τὸν δεῖνα εἰς τὴν αἴτησιν τῆς δεῖνα διὰ τοῦ
φ. 33. πρώ|του ταξίματος (καὶ γράφει τὴν ἡμέραν) ». Ὁμοίως καὶ ἂν οὐκ ἔλθῃ, γράφει καὶ τὸ δεύτερον τάξιμον, ὡσαύτως καὶ τὸ τρίτον.

Καὶ ἐὰν ἔλθῃ, παρίσταται καὶ λέγει οὕτως. « Δέσποτα, παρίσταται ἡ δεῖνα, θυγατέρα τοῦ δεῖνα ἔνπροσθεν τῆς ἁγιωσύνης σου καὶ ποιεῖ τὴν ἁγιωσύνην σου ὅτι νὰ τὸ ἐγνωρίσῃς, ὅτι ὁ πατὴρ αὐτῆς ὁ δεῖνα ἐμνηστεύσατο ἑαυτὴν μετὰ τοῦ δεῖνα, μὴ γινώσκουσαν ὅτι ὑπῆρχεν ἀδελφὸς αὐτῆς πνευματικός, διὰ τὸ ἐσήκωσεν αὐτὴν ὁ δεῖνα καὶ πατὴρ αὐτοῦ ἀπὸ τῆς ἁγίας κολυμβήθρας, καὶ διὰ τοῦτο οὐ δύναται πληρῶσαι μετ' αὐτοῦ τέλειον γάμον, καὶ διὰ τοῦτο ζητεῖ λύσιν τῶν τοιούτων μνήστρων ». Καὶ ἐὰν θέλῃ ὁ ἄνθρωπος ἀπολογεῖται

ἢ τὴν ὁμολογίαν, ἢ τὴν ἄρνησιν, εἰ δὲ καὶ οὐ θέλῃ, [ζ]ητεῖ ἐγράφως λίβελλον πληρέστατον, καὶ ὁ κριτὴς ὁρίζει νὰ δώσουν καὶ λίβελλον καὶ ἡμέραν τακτήν· καὶ γράφει ταῦτα πάντα ὁ νοτάριος, καὶ ὑπᾶσιν.

Καὶ εἰς τὴν ἡμέραν τὴν τακτὴν ἔρχεται ἡ γυναῖκα καὶ φέρει λίβελλον ἔγγραφον οὕτως. «Ἔμπροσθεν ὑμῶν, πανιερώτατε καὶ θεοτίμητε ἐπίσκοπε δεῖνα, πρόεδρε πόλεως καὶ ἐνορίας Πάφου.

Εἰ δὲ ἔνε ἄλλος κριτὴς παροῦ τὸν ἀρχιερέα, γράφει οὕτως.

«Ἔμπροσθεν ὑμῶν, θεοφιλέστατε ἱερεὺς κῦρ δεῖνα σακελλάριε (ἢ ὡς ἀκούει τὸ ὀφφίκιν του) καὶ ἐκ προσώπου τοῦ πανιερωτάτου καὶ θεοτιμήτου ἐπισκόπου δεῖνα προέδρου πόλεως καὶ ἐνορίας δεῖνα, παρισταμένη κἀγὼ ἡ δεῖνα θυγάτηρ τοῦ δεῖνα προβάλλομαι καὶ λέγω κατὰ τοῦ δεῖνα υἱοῦ τοῦ δεῖνα, ὡς ὅτι προλαβὼν ἐμνηστεύσατό με ὁ πατήρ μου μετὰ τοῦ δεῖνα, μὴ γινώσκουσα ὅτι ὁ πατὴρ αὐτοῦ ὁ κῦρ δεῖνα ἐσήκωσέν με ἀπὸ τῆς ἁγίας κολυμβήθρας καὶ ἕνεκεν τούτου ὑπάρχει ἀδελφός μου πνευματικὸς καὶ οὐ δύναμαι πληρῶσαι γάμον μετ' αὐτοῦ. Ὅθεν αἰτῶ τὴν ὑμῶν ἁγιότητα κἀγὼ ἡ δεῖνα ὡς ἵνα ἐκκλησιαστικῶς καὶ ἀποφαντικῶς ὁρίσῃς τὰ προρρηθέντα μνῆστρα εἰς οὐδὲν ὑπάρχουν, καὶ διαζεύξῃς τὰ ῥηθέντα μνῆστρα ὡς γεγονότα δι' ἔργου καὶ οὐχ ὡς δικαίου, ὡς ὑπάρχει ὁ δεῖνα ἀδελφός μου πνευματικὸς διὰ τῆς ἁγίας κολυμβήθρας. Ταῦτα δὲ λέγω σωζομένου τοῦ δικαίου καὶ τὰ ἑξῆς, προβάλλομαι τοῦ αὐξῆσαι καὶ ἐλαττῶσαι».

Εἶθ' οὕτως γράφει ὁ νοτάριος ὄπισθεν τοῦ λιβέλλου «προσεκομίσθη ὁ παρὼν λίβελλος τὴν δεῖνα ἡμέραν, καὶ ἐδόθη τοῦ ἄλλου μέρους ἡμέρα τοῦ σκέψασθαι τὴν δεῖνα ἡμέραν εἰς τὰς τόσας τοῦ μηνός» Καὶ ἀπέρχουνται ἕως ἡμέρας δ', καὶ εἰς τὴν ἡμέραν ἔρχεται τὸ ἄλλο μέρος καὶ ζητεῖ ἡμέραν τοῦ δοῦναι πάντα τὰ δικαιώματα, καὶ ἄλλας ἡμέρας δ'.

Πρῶτα δίκαια. Καὶ εἰς τὴν ἡμέραν φέρνει ἐγράφως τὰ δίκαιά του καὶ λέγει « Κατὰ τοῦ λιβέλλου τοῦ προσκομισθέντος παρὰ τῆς κυρᾶς δεῖνα καὶ μνήστης μου, ἐν πρώτοις μου δικαιώμασιν ἀπολογοῦμαι κἀγὼ δεῖνα καὶ λέγω ὡ[ς] ὅτι περὶ τὸ λέγει ὅτι ὑπάρχω ἀδελφὸς αὐτῆς πνευματικός, καὶ οὐδὲν ὀφείλει πληρῶσαι ὡς λέγει τέλειον γάμον μετ' ἐμοῦ, οὐκ οἶδεν τί λέγει, ὅτι ὁ πατήρ μου ἐσήκωσεν αὐτὴν ἀπὸ τῆς ἁγίας κολυμβήθρας, καὶ οὐδὲν καθαρίζει καὶ λέγει πόσον καιρὸν ἔχει, ἢ μῆνας, ἢ ἡμέρας, καὶ διὰ τοῦτο ἀπολογοῦμαι καὶ λέγω ὅτι σκοτινὰ διαλέγεται, ὡς μαθητευθεῖσα παρὰ κακοποιῶν ἀνδρῶν ταῦτα προβάλλεται, ἄλλω τε καὶ μεγαλότερον, οὔτε τοὺς ἑτέρους τοὺς μετὰ τοῦ πατρός μου ἀναδεξαμένους αὐτὴν δηλοῖ, ἀλλὰ διαλέγεται ἄλλης ἐξ ἄλλου, καὶ διὰ τοῦτο οὐδὲ ἐγὼ ὀφείλω τοῦ ἀπολογηθῆναι αὐτῆς, ἀλλὰ δέομαι τὴν ὑμῶν ἁγιότητα τοῦ στενεῦσαι ταύτην ἐκκλησιαστικῶς τοῦ ἐλθεῖν μετὰ τῶν προικιμαίων πραγμάτων καὶ πληρῶσαι τὸν γάμον, καθὼς ἀπαιτεῖ τὸ δίκαιον, μετ' ἐμοῦ· ἄλλω τε λέγει ὅτι τὰ μνῆστρα
φ. 34. τὰ γεγονότα μέσον ἡμῶν γέ|γοναν δι' ἔργου καὶ οὐχ ὡς δικαίου, καὶ ταῦτα ἀδύνατόν ἐστιν αὐτὴν τοῦ λέγειν, ἐπεὶ ὄντως ζῶν ὁ πατὴρ αὐτῆς ἠράσθη καὶ ἐγένοντο μέσον ἀξιολόγων ἀνδρῶν ἰδιοπροαιρέτως καὶ αὐτῆς μετὰ τοῦ πατρὸς συγκατατεθείσης, διὰ τοῦτο οὐκ ὤφειλεν ταῦτα λέγειν, ἀλλ' οὖν ἀπὸ κακοσυμβούλων ἀνδρῶν λέγει ταῦτα, καὶ οὐκ ὀφείλει ἡ ἁγιωσύνη ὑμῶν τοῦ ἀκροάσασθαι αὐτῇ, ἀλλὰ μᾶλλον στενεῦσαι αὐτὴν καθὼς ἄνωθεν εἴρηκα τοῦ πληρῶσαι τὸν γάμον ».

Εἶτα λαμβάνει καὶ ἡ γυναῖκα, ἢ ὁ προκουράτωρ αὐτῆς ἄλλην ἡμέραν, ἤγουν δ' ἡμέρας τοῦ ἀνανεῶσαι τὸν λίβελλον· μετὰ δὲ τὰς δ' ἡμέρας τὰς τακτὰς ἔρχεται ἡ γυναῖκα καὶ παρίσταται μετὰ τοῦ ἀβουκάτου καὶ λέγει ἐγγράφως:

Δεύτερα δίκαια. « Κατὰ τῶν πρώτων δικαιωμάτων τῶν προσκομισθέντων παρὰ τοῦ δεῖνα ἐν δευτέροις μου δικαιώμα-

σιν, ἀπολογοῦμαι κἀγὼ ἡ δεῖνα καὶ λέγω ὅπερ ἔλεξα ἐν πρώτοις μου δικαιώμασιν ἐν τῷ ἡμετέρῳ λιβέλλῳ πάλιν τὸ αὐτὸ λέγω, ὅτι ἡμέτερος ἀδελφὸς ὁ δεῖνα ὑπάρχει διὰ τῆς ἁγίας κολυμβήθρας καὶ οὐ δύναμαι πληρῶσαι μετ' αὐτοῦ τέλειον γάμον, ἀλλὰ καὶ τὰ μνῆστρα διαζεῦξαι ὡς γεναμένα δι' ἔργου καὶ οὐχ ὡς δικαίου· μέσον γὰρ ἀδελφῶν οὐ συνίσταται γάμος, ἀλλὰ ἀσύστατός ἐστιν καὶ εἰς οὐδὲν λογίζεται. Περὶ δὲ ὃν λέγει ὅτι σκοτινὰ διαλέγομαι, οὐκ οἶδεν τί λέγει· ἐπεὶ γὰρ λέγω ὅτι ὁ πατὴρ αὐτοῦ ἐσήκωσέν με ἀπὸ τῆς ἁγίας κολυμβήθρας, σώζει ταῦτα, ὅταν δὲ γένεται καιρὸς τῆς ἀποδείξεως παρὰ τῶν μαρτύρων, τότε οἱ ἐρχόμενοί μοι μάρτυρες ὀφείλουσιν ἐκεῖνοι καθαρῖσαι καὶ τὸν καιρὸν καὶ τὴν ἡμέραν καὶ τοὺς ἄνδρας τοὺς συμπαρόντας. Διὰ τοῦτο ἀνάθωμαι εἰς τὴν ὑμετέραν ἁγιότηταν καὶ αἰτῶ μέσην ἀπόφασιν ».

Εἶτα πάλιν ἔρχεται τὸ ἄλλο μέρος καὶ ζητεῖ πάλιν τοῦ δοῦναι τρίτα τοῦ καθαρίσαι τὰ δεύτερα. Καὶ διδοῖ αὐτοῦ ὁ κριτὴς ἡμέρας δ', καὶ εἰς τὴν ἡμέραν τὴν τακτὴν ἔρχεται καὶ λέγει ἐγγράφως οὕτως·

Τρίτα δίκαια. « Κατὰ (1) τῶν δευτέρων δικαιωμάτων τῶν προσκομισθέντων παρὰ τῆς κυρᾶς ὁ δεῖνα καὶ μνηστῆς μου, ἐν τρίτοις μου δικαιώμασιν ἀπολογοῦμαι κἀγὼ δεῖνα καὶ λέγω, ὡς ὅτι ὅπερ ἔλεξα ἐν τοῖς πρώτοις μου δικαιώμασιν πάλιν τὸ αὐτὸ λέγω, ὅτι ὁ λίβελλος τῆς κυρᾶς δεῖνα καὶ μνηστῆς μου σκοτινὰ διαλέγεται καὶ ἀνωφελές, ὅτι οὐδεμίαν ἀλήθειαν λέγει, ἀλλ' ὡς μαθητευθεῖσα λέγει τὰ προβαλλόμενα κεφάλαια, ὡς ψευδομένης τῆς τοιούτης ἀθέσμοις λόγοις καὶ ἀφορμαῖς. Διά τοι τοῦτο αἰτῶ τὴν ὑμῶν ἁγιότητα, ὡς ἀναθόμενος εἰς ὑμᾶς τοῦ δοῦναι πληρεστάτην ἀπόφασιν, τοῦ μηκέτι παραχωρῆσαι ταύτην εἰς ἕτερον πρόσωπον ἐκπληρῶσαι μηδεμίαν

(1) χειρ. Κατατᾶ.

κράτησιν γάμου, ἀλλ' οὖν μετ' ἐμοῦ, καὶ πληρῶσαι τὰ συμφωνηθέντα καθὼς τὸ δίκαιον ἀπαιτεῖ ».

Εἶτα γράφει ὁ νοτάριος τὴν ἡμέραν ὅτε προσεκομίσθησαν τὰ παρόντα δίκαια, καὶ διδοῖ ὁ κριτὴς ἡμέραν τῆς μέσης ἀποφάσεως, καὶ γράφει τὴν ἡμέραν. Καὶ εἰς τὴν ἡμέραν ἔχων ὁ κριτὴς τὴν βουλὴν λέγει ἐγράφως οὕτως:

Μέση ἀπόφασις. « Ἐπὶ (1) τῇ ὑποθέσει τῶν ἀμφοτέρων μερῶν, τῆς τε δεῖνα ἀπαὶ τὸ ἓν μέρος, καὶ τοῦ δεῖνα καὶ μνηστοῦ αὐτῆς ἀπαὶ τὸ ἕτερον μέρος, ἡμεῖς δεῖνα ἐλέῳ θεοῦ ἐπίσκοπος Ἀρσηνόης (καὶ τὰ ἑξῆς) σκέψαντες τὰς πράξεις αὐτῶν ἀκριβῶς, ἔχοντες δὲ καὶ βουλὴν μετὰ λογίμων ἀνδρῶν, ἀποφήνωμεν ἐγράφως καὶ διὰ μέσης ἀποφάσεως ὁρίζομεν οὕτως· ἀνατρέπομεν τὰ δίκαια τὰ δοθέντα παρὰ τοῦ δεῖνα, καὶ ὁρίζομεν αὐτὸν τοῦ ἀπολογηθῆναι εἰς τὴν αἴτησιν τῆς δεῖνα ».

Καὶ γράφει ὁ νοτάριος « Ἐγράφη, ἐκηρύχθη ἡ παροῦσα μέση
φ. 35. ἀπόφασις εἰς τὰς ἔτοσας | τοῦ μηνός, παρόντος τοῦ δεῖνα (τουτέστιν τοὺς μάρτυρας ὁποῦ εὑρίσκονται). » Καὶ ἀπέρχουνται.

Καὶ εἰ μὲν βούλωνται, κρατοῦν τὴν δίκην, εἰ δὲ οὐ βούλωνται, καρτεροῦν τὰς ι' ἡμέρας· καὶ πληρουμένων τῶν ι' ἡμερῶν, ἔρχουνται ἀμφότεροι καὶ κρατοῦν τὴν δίκην. Καὶ λέγει ὁ ἄνθρωπος « ἀρνοῦμαι (ἀρνεῖται τὰ λεγόμενα ὡς λέγουνται) καὶ αἰτῶ τὰς ἀποδείξεις' ». Καὶ ὀμνύουν· ἡ μὲν γυναῖκα ὀμνύει « τὰ προβαλλόμενα παρ' αὐτῆς δικαίως τὰ προβάλλεται, καὶ ἐὰν ἔνε χρῆσις νὰ φέρῃ μάρτυρας, νὰ μὴ δὲ παρακαλέσῃ τους, νὰ μὴ δὲ ξενιάσῃ τους, ἀνμὲ νὰ τοὺς φέρῃ δικαίως πιστῶς ». Ὁμοίως καὶ ἡ ἄλλη μεραία ὀμνύει « ὅτι (2) δίκαια καὶ πιστὰ διαφεντεύγεται, καὶ ἀνὲν καὶ ἔνε χρῆσις μαρτύρων, νὰ μὴ δὲ ξενιάσῃ τους, νὰ μὴ δὲ παρακαλέσῃ τους ».

(1) χειρ. Ἐπεί. (2) χειρ. ἔτι.

Καὶ ὁρίζει τὴν γυναῖκα νὰ προσφέρῃ ἐγγράφως τὰ προβάλματα· « Προβάλλομαι κἀγὼ ἡ δεῖνα ἐπάνω εἰς τὸν ὅρκον μου ἔτι, ὅτι ἐμνηστεύθην ἔτι ζῶντος τοῦ πατρός μου μετὰ τοῦ δεῖνα, ἔτι, ὅτι οὐκ ἐγίνωσκον ὅτι ὁ πατὴρ αὐτοῦ ὁ κῦρ δεῖνα ἐσήκωσέν με ἀπαὶ τῆς ἁγίας κολυμβήθρας· ἔτι, ὅτι καὶ διὰ τοῦτο ὑπάρχω ἀδελφὴ αὐτοῦ πνευματικὴ καὶ οὐ δύναμαι πληρῶσαι μετ' αὐτοῦ γάμον· ἔτι, ὅτι καὶ τοῦτο δικαίως τὸ ζητῶ ».

Καὶ τὸ ἄλλο πρόσωπον, ἤγουν ὁ ἄνθρωπος, ἐρωτᾶται κεφάλαιον πρὸς κεφάλαιον, καὶ ὁ νοτάριος γράφει ὡς λέγει εἰς τὰ ἐρωτήματα. Καὶ εἰ μὲν ὁμολογήσῃ ὁ ἄνθρωπος, δόξα τῷ θεῷ, εἰ δ' οὐ μή γε, προσφέρνει ἡ γυναῖκα μάρτυρας, καὶ ὀνοματίζει τους κρυφά, καὶ τάσσουν αὐτούς, καὶ εἰς τὴν ἡμέραν ἔρχουνται.

Καὶ ἡ ἄλλη μερακὰ προσφέρνει τὰ ἐρωτήματα, καθὼς ἐγράψαμεν εἰς τὰς ἄλλας τὰς ὄπισθεν προσφέρσεις. Καὶ οὕτως ὀμνύουν καὶ λέγουν ὁ καθεὶς μάρτυς λόγον πρὸς λόγον, καὶ ὁ νοτάριος γράφει καὶ λέγει οὕτως·

« Προβάλλεται ἡ δεῖνα ὅτι ἐστιν θυγάτηρ τοῦ δεῖνα ». Καὶ ὁ μάρτυς λέγει ἢ ναί, ἢ οὐχί· καὶ ὁ κριτὴς « πῶς τὸ γινώσκεις; »

Πάλιν λέγει « ὅτι λέγει ὅτι ἔλαβεν μνῆστρα ἤγουν εὐχὴν καὶ ἀσπασμόν ». Καὶ πάλιν ἀποκρίνεται. « Καὶ πῶς τὸ γινώσκεις; ἦτουν ἐκεῖ, ἢ ἤκουσές το; » Καὶ ἀποκρίνουνται, καὶ ὁ νοτάριος γράφει.

Πάλιν ἐρωτῶν λέγει « ὅτι ὁ πατὴρ τοῦ δεῖνα ἐσήκωσέν την ἀπὸ τὴν ἁγίαν κολυμβήθραν· καὶ πῶς τὸ γινώσκεις; ἦσουν ἐκεῖ, ἢ ἤκουσές το; » Καὶ ἀποκρίνεται, καὶ ὁ νοτάριος γράφει.

Πάλιν λέγει « καὶ διὰ τοῦτο ὑπάρχει ἀδελφὴ αὐτοῦ πνευματική, καὶ ζητεῖ νὰ χωριστῇ, τί λέγεις; »

Καὶ εἴ τι εἴπουν οἱ μάρτυρες.

Εἰς τὴν ἡμέραν ὅτι τελειωθοῦν οἱ μάρτυρες ὅλοι διδοῖ ἡ-

μέραν, καὶ ἀνοίγουν τοὺς μάρτυρας, καὶ κηρύσσουν τοὺς μάρτυρας· καὶ ἂν θέλῃ ἡ ἄλλη μεραία, ἐπαίρνει ἐγγράφως τοὺς μάρτυρας καὶ ἡμέραν νὰ εἰπῇ κατ' αὐτῶν· καὶ ἐὰν εἴπῃ, ἐπαίρνει ἡ ἄλλη μεραία τὸ εἰπεῖν τους καὶ λέγει κατ' αὐτούς· καὶ μετὰ τὸ εἰπεῖν, ἐπαίρει ἡ ἄλλη μεραία νὰ τοὺς ἀνασηκώσῃ.

Καὶ οὕτως διδοῖ ὁ κριτὴς ἡμέραν νὰ δώσῃ τὴν ἀπόφασιν, καὶ εἰς τὴν ἡμέραν ἀναγινώσκεται ἡ ἀπόφασις ἐγγράφως οὕτως.

Ἀπόφασις. « Γινωσκέτωσαν πάντες οἱ τὴν παροῦσαν πληρεστάτην ἀπόφασιν ἀναλαβόντες καὶ ἀκούσαντες ὡς ἔμπροσθεν ἐμοῦ τοῦ νοταρίου νομικοῦ καὶ γραφέως ὁ πανιερώτατος καὶ θεοτίμητος ἐπίσκοπος δεῖνα ἔκδωκεν πληρεστάτην ἀπόφασιν περιέχων οὕτως. — Γινωσκέτωσαν πάντες οἱ τὴν παροῦσαν πληρεστάτην ἀπόφασιν ἀναλαβόντες καὶ ἀκούσαντες ὅτι ἡμεῖς δεῖνα ἐπίσκοπος, πρόεδρος πόλεως καὶ ἐνορίας δεῖνα, γνωρί-
φ. 36 σαντες ἀπὸ τὴν ἔγκλητον | οὗ προεβάλετο ἡ δεῖνα θυγάτηρ τοῦ δεῖνα κατὰ τοῦ μνηστοῦ αὐτῆς κῦρ δεῖνα ἔμπροσθεν ἡμῶν, οὕτινος κυρᾶς δεῖνα λίβελλος ἐδόθη εἰς πληρεστάτην δίκην περιέχων οὕτως· (καὶ ἀναγινώσκεται ὁ λίβελλος παρὰ τοῦ νοταρίου. Εἶτα λέγει ὁ κριτής) δίκης κρατηθείσης νομίμου εἰς αὐτό, ὅρκων γενομένων τοῦ εἰπεῖν τὴν ἀλήθειαν, ἐρωτήσεων καὶ ἀποκρίσεων κεφαλαίων δοθέντων, μαρτύρων προσκομισθέντων, δι' ὅρκων στενευθέντων, καὶ τὰ λαληθέντα παρ' αὐτῶν πιστῶς γραφέντα καὶ διὰ συγκαταθέσεως τῶν μερῶν ἀναγνωσθέντα καὶ κηρυχθέντα, ὕστερον ἀσφαλίσαντο τὴν δίκην, καὶ αἰτήθησαν τὴν ἀπόφασιν ἀκοῦσαι, ἧς ἡμέρας κρεμαμένης, ἐρευνήσαντες τὰς πράξεις αὐτῶν ἀκριβῶς, ἔχοντες δὲ καὶ βουλὴν μετὰ λογίμων ἀνδρῶν, ἀποφήνωμεν ἐγγράφως καὶ διὰ πληρεστάτης ἀποφάσεως ὁρίζομεν οὕτως· ὅτι ἡ δεῖνα καλῶς ὑπέδειξεν ἡμῖν τὴν ἔννοιαν αὐτῆς, διά τοι τοῦτο κατακρίνοντες τὸν δεῖνα, ὅτι οὐ δύναται εἶναι ἄνδρας νόμιμος τῆς δεῖνα, καὶ ὁρίζομεν αὐτὴν πληρῶσαι γάμον εἰς ἕτερον πρόσωπον ἐν-

θα καὶ βούλεται, ὡς ὑπάρχων ὁ δεῖνα ἀδελφὸς αὐτῆς πνευματικός.

« Ἐγράφη, ἀνεγνώσθη, ἐκηρύχθη ἡ παροῦσα ἀπόφασις τὴν δεῖνα ἡμέραν τοῦ ἔτους δεῖνα, παρόντων ἀνδρῶν καὶ μαρτύρων τοῦ δεῖνα καὶ δεῖνα, καὶ δεῖνα μηνὸς καὶ ἔτους, καὶ ἰνδικτιὼν ἡ προγραφεῖσα ».

Καὶ μετὰ ι' ἡμέρας βάλλουν εἰς ἔργον τὴν ἀπόφασιν, ἐὰν οὐδὲν γένεται κράξιμον· εἰ δὲ γενῇ, μένουν ἕως οὗ νὰ λάβῃ πέρας τὸ κράξιμον.

Τίτλος Η'. Περὶ κεκωλυμένων γάμων.

Ἡ συγγένεια ὄνομά ἐστιν γενικόν, μοιράζεται δὲ εἰς τρία πρόσωπα, εἰς ἀνιόντας, ἤγουν πατέραν, ἢ μητέραν, εἰς κατιόντας, καὶ εἰς τοὺς ἐκ πλαγίου.

Ἀνιόντας μὲν λέγει, ὡς ἄνωθεν εἴπομεν, πατέραν, μητέραν, πάππον, μάμμην καὶ τοὺς ἄλλους ὁποῦ ἔρχουνται ἐξ αὐτούς· κατιόντες δὲ οἷον υἱός, ἐκγόνοι καὶ οἱ τούτων κατώτεροι· ἐκ πλαγίου δὲ οἱ μήτε ἡμᾶς ἐγέννησαν, οὔτε ἡμεῖς αὐτούς, ἂν μὴ ἦναι ἐκ τὸ γένος μας καὶ ἐκ τὴν ῥίζαν μας, οἷον ἀδελφὸς καὶ ἀδελφή, θεῖος, θεία, ἀνεψιός, ἀνεψιά, ἐξάδελφος, ἐξαδέλφη καὶ οἱ ἐκ τούτων κατώτεροι, ὡς λέγει τὸ βιβλίον με', τίτλος γ', διάταξις ε'.

Οὔτε συγγενής ἐστιν, οὔτε μέρος συγγενοῦ ὁποῦ γεννηθῇ ἀπὸ γάμου συγγενοῦ μου, ὅπου ἔνε ὁ γάμος κεκωλυμένος.

β. Πάλιν λέγομεν ὅτι οἱ συγγενεῖς πρῶτος βαθμός ἐστιν ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ οἱ ἄνω συγγενεῖς, δεύτερος βαθμὸς ἦσαν υἱοὶ καὶ ἡ κόραις καὶ ὅσοι ἔρχουνται ἐξ αὐτούς, ἐκ πλαγίου οἱ ἀδελφοί, κἂν ἄνδρες, κἂν γυναῖκας καὶ ὅσοι ἔρχουνται ἐξ αὐτούς. Καὶ ταῦτα λέγομεν διὰ τὰς κληρονομίας, ὅτι προσέρχουνται προτήτερον υἱοί, δεύτερον οἱ ἀπὸ τὸν κῦριν, ἢ τὴν

μάναν, τρίτον εἰς τὰς κληρονομίας οἱ ἀδελφοὶ καὶ ὅσοι ἔρχουνται ἐξ αὐτούς· καὶ διὰ τοῦτο σώζουνται ἡ κληρονομίαι.

γ. Ἡ καθαμία τάξις συγγενείας ἔχει διαφόρους βαθμούς, διὰ τοῦτο ἐμοιράσαμεν ἐνθάδε τοὺς συγγενεῖς ἵνα μὴ ἔχουν διαφοράς.

φ. 37. δ. Ἕκαστον γὰρ τῶν βαθμῶν τῶν προ|σώπων βαθμὸν ἕναν ἀποτελεῖ, καὶ ἁπλῶς ὅσαι γενέσεις εἰσίν, τοσοῦτοι βαθμοί· ἤγουν πατὴρ ἐγέννησεν υἱοὺς τρεῖς, τρεῖς βαθμούς, ἤγουν τρία πρόσωπατα, τρεῖς βαθμούς· ὁ καθεὶς ἀδελφὸς ἔχει ἕνα βαθμόν, ὡς καὶ ἓν πρόσωπον.

ε. Καὶ ὁ τεχθεὶς ἀπὸ γυναικὸς ἐλευθέρας ἐκ τοῦ ἡμετέρου ἀδελφοῦ, κἂν ἀπὸ πορνείας ἐγεννήθη, φυσικὸς συγγενής μου ὑπάρχει.

ϛ. Δυσχερής ἐστιν, τουτέστιν οὐδὲν ἔρχεται μετὰ χαρᾶς ὁ συγγενὴς ὁποῦ ἔρχεται ἀπὸ ἀδελφὸν εἰς κληρονομίαν, ἀλλὰ πρότερον ὀφείλομεν τρέχειν πρότερα εἰς τὰ παιδία τοὺς κληρονόμους, καὶ ἂν οὐδὲν ἔχῃ παιδία ὁ κληρονόμος, νὰ δράμῃς εἰς τοὺς γονεῖς, ἤγουν πατέραν, ἢ μητέραν· καὶ ἂν οὐκ ἔχῃ ἢ τέκνα, ἢ γονεῖς, τότε κατέρχου εἰς τοὺς ἀδελφούς, ἢ πρότερον ἀνέρχου ἐπὶ τοὺς γονεῖς, ἐὰν θέλῃς νὰ ἐρευνήσῃς τοὺς βαθμούς, εἶτα ἀνέρχου εἰς τοὺς κατιόντας, καὶ τοῦτον εὑρήσεις, τότε ἔρχου εἰς τὸ ἐκ πλαγίου πρόσωπον, ἤγουν τοὺς θείους, καὶ εὑρήσεις τὸ ζητούμενον πρόσωπον τὸ πλέον κοντότερα καὶ οὕτως ἀπόδος τὴν κληρονομίαν.

ζ. Οἷον, ὁ υἱός μου πόσον μού ἐστιν βαθμός; ἐγὼ ἐγέννησα τὸν υἱόν μου, ἕναν βαθμὸν ἀπετέλεσεν, ἤγουν πρώτου βαθμοῦ. Ὁ πάππος μου πόσου μού ἐστιν βαθμοῦ; καὶ λέγομεν, ἐμὲ ἐγέννησεν ὁ πατήρ, τὸν πατέρα ὁ πάππος, ἰδοὺ δύο γεννήσεις, δυὸ βαθμοὺς ἀπετέλεσαν· ἔστιν οὖν ὁ πάππος δευτέρου βαθμοῦ. Οὕτως μετροῦμεν καὶ μητρός, καὶ μάμμης, καὶ πάντας τοὺς κατιόντας καὶ ἄνδρας καὶ θηλείας.

η. Ἐπὶ δὲ τοὺς ἐκ πλαγίου ὡς εἴπομεν ἀδελφοὺς πρότερον δεῖ ἀνιέναι ἐπὶ τὸ πρῶτον πρόσωπον· καὶ μέτρησαι τὰς γεννήσεις τῶν ἀδελφῶν καὶ ψήφιζε ἕως καὶ τὸ πρόσωπον τὸ ζητεῖς, καὶ εὑρήσεις τὴν ἀλήθειαν.

θ. Τοὺς κεκωλυμένους γάμους ὁρίζομεν οὕτως· ἐπὶ μὲν γὰρ τοὺς γονεῖς, οἷον τοὺς ἀνιόντας καὶ κατιόντας οἷον παῖδας, εἰς ἀπέραντον τουτέστιν πάντοτε ὁ γάμος ὑπάρχει κωλυμένος, κἂν ἐξ ἐννόμου γάμου ἔνε, κἂν πορνικοί.

ι. Οὐ δύναται ἄνθρωπος λαβεῖν εἰς γάμον τὴν ἰδίαν μάμμην, ἢ τὴν ἐγγόνη, εἴτε φυσικαὶ ἂν ἔνε, εἴτε θεταί· θετὸς γάρ ἐστιν, ἣν λάβω ἀπὸ τὴν ἐκκλησίαν νὰ τὴν ἀναγιώσω ὡς θυγατέραν μου, ἢ κἂν ἐλευθερωθῇ καὶ ἐποίησεν αὐτὴν ὁ λαβὼν αὐτεξουσίαν, οὐ δύναμαι λαβεῖν ταύτην διὰ τὸ ἐχρημάτισεν θυγάτηρ τοῦ πατρός μου.

ια. Καὶ μέσον πάλιν τῶν ἀδελφῶν ὧνπερ λέγουνται ἐκ πλαγίου συγγενεῖς ἔχει καὶ εἰς αὐτοὺς κώλυσις· ἤγουν τοῦ ἀδελφοῦ μου, ἢ τῆς ἀδελφῆς μου θυγατέραν λαμβάνειν οὐ δύναμαι πρὸς γάμον, ἀλλ' οὐδὲ τὴν τούτου ἐκγόνην, ἐὰν ἔρχουνται μέχρι καὶ εἰς δ' πρόσωπον, οὐδὲ τὴν θυγατέραν τοῦ θείου μου, ἢ τῆς θείας μου, ἢ τοῦ ἐξαδέλφου μου, παράνομος γὰρ ὁ γάμος.

ιβ. Ἀλλ' οὐδὲ ὁ υἱός μου δύναται λαβεῖν τὴν ἐκγόνην αὐτῶν οἵτινες λέγουνται διεξάδελφοι, ἀλλ' οὐδὲ τὴν πρὸς πατρὸς ἢ μητρὸς θείαν, ἢ κἂν καί εἰσιν θεταί, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν, καὶ πῶς ἠμπορεῖ τοῦτο νὰ γενῇ; οἷον ὁ πάππος μου ὁ πρὸς πατρὸς ἔχων υἱὸν τὸν ἐμὸν πατέρα ἔλαβεν κόρην εἰς θέσιν ἀπὸ ἐκκλησίας, καὶ ὁ μὲν πατήρ μου ἔκραξεν αὐτὴν κόρην του θετήν, ἐγὼ δὲ θετὴν ἀδελφήν, πῶς δύναμαι ταύτην λαβεῖν εἰς γάμον; ταύτη γὰρ ἡ συγγενεία οὐκ ἔστιν ἡ λεγομένη παρὰ τοὺς λατίνους σάγγηνα, παρὰ δὲ τοὺς Ῥωμαίους ἀφ' αἵματος | λέγεται· τοῦτο οὐ δύναμαι συναφθῆναι εἰς γάμον, φ. 38
ὅτι ἐστιν γάμος παράνομος.

ιγ. Εἰσὶν δὲ καὶ ἕτεροι συγγενεῖς ὁποῦ οὐδὲν ἔνε κατὰ σάρκα συγγενεῖς, ἀνμὲ ἔνε οὓς ἀγχιστεύς, οὓς καλοῦσιν οἱ χωρικοὶ διπλοσυνπεθέρους, αὗτοι δὲ ψηφοῦνται μέχρι καὶ ἑβδόμου βαθμοῦ, καὶ οὕτως ἐξέρχουνται τῆς συγγενείας.

ιδ. Ἀλλ' οὐδὲ ὁ υἱός μου δύναται λαβεῖν τὴν διςεξάδελφην αὐτοῦ, διότι σώζει τὸν ἕκτον βαθμόν, ἀλλ' οὐδὲ τὴν πρὸς πατρὸς ἢ πρὸς μητρὸς θείαν, εἰ καί εἰσιν θεταί, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν· καὶ πῶς ἐνπαίνει νὰ ἔχω θετὴν θείαν; οἷον ὁ πάππος μου ἀπὸ τὴν μεραίαν τοῦ πατρός μου ἔχων υἱὸν τὸν κῦρίν μου ἐπῆρεν κόρην θετήν, καὶ ὁ πατήρ μου ἐκάλει αὐτὴν θετὴν ἀδελφήν, ἐγὼ δὲ θείαν. Ὡςαύτως οὐδὲ τὴν μεγάλην θείαν δύναμαι λαβεῖν, τουτέστιν τοῦ πάππου ἀδελφήν, εἰ καὶ θετή ἐστιν, ἐπειδὴ μάμμων τάξιν ἐπέχουσιν.

ιε. Εἰσὶν δὲ καὶ ἕτεροι οἳ οὐκ ἐστιν συγγενεῖς κατὰ σάρκα, ἀλλ' οὖν καλοῦνται διπλοσυνπεθέροι, οἵτινες ἔρχουνται ἀπὸ διπλῶν προσώπων ἔξω ἀπὸ συγγενείας ἀφ' αἵματος· οἷον οὐδὲν μοῦ ἐμπαίνει ἐπᾶραι τὴν ἐμὴν προγονήν, ἢ νύμφη· καὶ προγονὴ μέν ἐστιν, ἣν ἄνθρωπος πρότερον συνοικέσιον ἐμίγη τῇ ἐμῇ γυναικί, ἣν ἔλαβον ἐγὼ ἀπὸ θανάτου ἐκείνου, καὶ ἐγγόνη καὶ προεγγόνη τῆς γαμετῆς μου· νύμφη δὲ λέγεται ἡ τοῦ υἱοῦ μου ἢ τοῦ ἐγγόνου μου γαμετή. Ἀλλ' οὐδὲ τὴν πενθερὰν δύναταί τις λαβεῖν εἰς γάμον, εὑρίσκομεν γὰρ ἔχειν θυγατέραν καὶ μάνα.

ις. Ἀλλ' οὐδὲ τὴν μητρυίαν μου, ἣν ἔσχεν ὁ πατήρ μου εἰς γαμετήν, ἀλλ' οὐδὲ τὴν τούτου πελλακίδαν· εὑρίσκουνται δὲ αὗται εἰς τάξιν μητέρων, οἵτινες οἱ μιγέντες μετ' αὐτῶν ἐξαιροῦνται τῆς τῶν χριστιανῶν τάξεως.

ιζ. Πάλιν λέγομεν καὶ ἑτέρους οἵτινες καὶ αὐτοὶ λέγουνται κεκωλυμένοι γάμοι· οὐ δύναμαι λαβεῖν τὴν θυγατέραν τῆς ἀποζευχθείσης μοι γυναικός· ποία γάρ ἐστιν ταύτη; οὐχὶ ἐκείνην τὴν ἐχωρίσθην ἐξ αὐτῆς καὶ εἶχεν ἐξ ἄλλου θυγατέραν,

ἀλλ' οὖν εἰ καὶ ἐχωρίσθην ἀπὸ γυναικός, καὶ ἔλαβεν ἄνδρα καὶ ἔτεκεν ἐξ αὐτοῦ θυγατέραν, οὐδὲ αὐτὴν δύναμαι ἔχειν οὔτε εἰς πορνείαν. Οὐδὲ τὴν τοῦ πατρός μου, ἢ τοῦ ἀδελφοῦ μου μνηστήν, ἤγουν ἡ ἔχουσα εὐχὴν καὶ ἀσπασμόν, κἂν εἰς γάμον οὐκ ἐμίγη εἰ ὁ πατήρ μου, εἰ ὁ ἀδελφός μου.

ιη. Πάλιν λέγομεν ὅτι ἔλαβον κόρην εἰς μνηστείαν, ἤγουν ἔλαβον μετ' αὐτῆς εὐχὴν καὶ ἀσπασμόν, ἐτελεύτησεν ἐν τῷ καιρῷ τῆς μνηστείας, οὐ δύναμαι λαβεῖν τὴν αὐταδέλφην αὐτῆς εἰς γάμον, διότι εὑρίσκομαι ἔχειν δύο ἀδελφὰς καὶ ἐστὶν αἱμομίκτης, εἰ καὶ γάμος οὐ παρηκολούθησεν· οὐδὲ τὴν ταύτης θείαν, δι' οὗ, θεοῦ μεσάζοντος, αἱ ψυχαὶ αὐτῶν συνάπτονται.

ιθ. Καὶ ὁ φυσικὸς γὰρ πατὴρ οὐ λαμβάνει τὴν πορνογενὴν αὐτοῦ θυγατέρα, τὸ φύσει γὰρ δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοποῦμεν, διὰ τὸ τοῦ αἵματος συγγενές. Ταῦτα δὲ λέγομεν καὶ περὶ δούλων, ὁμοίως καὶ περὶ διπλοσυμπενθερίας· οὐ μόνον γὰρ ἡ τοῦ πατρός μου, ἀλλὰ καὶ ἡ τοῦ πάππου γαμετὴ μητρυία λέγεται, καὶ κωλύομαι αὐτὰς λαβεῖν εἰς γάμους.

κ. Πενθερά ἐστιν ἡ μήτηρ καὶ ἡ μάμμη τῆς γαμετῆς μου καὶ οὐδεμίαν ἐξ αὐτῶν λαμβάνω εἰς γαμετήν, οὐδὲ τὴν μητέραν τῆς ποτέ μου γεναμένης μνηστῆς, ἧς οὐ παρηκο|λουθῆ- φ. 32 σεν γάμος· γέγονεν γὰρ καὶ αὐτὴ πενθερά, ὡς ἀσπασόμην τὴν ταύτης θυγατέρα ἐν τῷ καιρῷ τῆς μνηστείας· οὔτε τὴν γυναῖκα τοῦ προγονοῦ μου, εὑρίσκομαι γὰρ ἔχειν μάναν καὶ θυγατέρα, διότις ἐμίγη τῆς μητρὸς τοῦ προγονοῦ μου, καὶ ἡ νύμφη αὐτῆς ὡ θυγατέρα ταύτης λογίζεται, καὶ διὰ τοῦτο κωλύομαι ἔχειν ταύτην ὡς γαμετήν.

κα. Τὴν προγονὴν τῆς ἀδελφῆς μου λαβεῖν εἰς γάμον οὐ δύναμαι· ἐγὼ γὰρ καὶ ἡ ἐμὴ ἀδελφὴ ὑπάρχομεν προσώπατα δύο, ὁ πατὴρ τῆς προγονῆς τῆς ἀδελφῆς μου ἐγένοντο προσώπατα δύο, ὁμοῦ ἐξ ἀγχιστείας τέσσαρα, καὶ κωλύουνται οἱ

ταῦτα ποιοῦντες, διότις ὁ τέταρτος βαθμὸς κωλύεται. Οὔτε ἡ μητρυία λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγονῆς αὐτῆς.

Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ὡρισμένον ποιοῦμεν, ἀλλὰ καὶ τὸ εὐπρεπές, τουτοδῆλον ἐὰν ἐντέχεται νὰ γενῇ.

κβ. Τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει εἰς γάμον· διότι ὁ πατήρ μου ἐμίγη τῇ ταύτης μητρί, πῶς δύναμαι κἀγὼ ἔχειν γαμετὴν τὴν θυγατέραν αὐτῆς;

Οὔτε ὁ θετὸς πατὴρ τὴν τοῦ θετοῦ υἱοῦ θυγατέραν, ἢ τὴν ἐγγόνην, διότις ἡ θέσις οὐ λύεται, ὅτι κρείσσων ἡ ψυχὴ τοῖς σώμασιν. Οὔτε ὁ θετὸς υἱὸς τὴν τοῦ θετοῦ πατρὸς μητέραν, ἢ ἀδελφὴν αὐτῆς, ἢ τὴν ἀπὸ υἱοῦ ἐγγόνην.

Οὐκ εστιν εὐπρεπὲς τὴν γυναῖκα τοῦ πάτρωνος ἐν ᾗ ἐλευθερώθη, τὴν μάναν του, ἢ τὴν γυναῖκάν του λαβεῖν εἰς γάμον, διὰ τὴν τιμήν.

κγ. Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου, οὔτε ὁ συνυπεξούσιος αὐτοῦ ἀδελφὸς δύνανται γαμεῖν τὴν ὀρφανήν· διότις ὁ καιρὸς τῆς ἐπιτροπῆς οὐκ ἐλύθη, πῶς δύναμαι λαβεῖν, ἢ ὁ πατήρ μου, ἢ ὁ υἱός μου, ἢ ὁ ἀδελφός μου; ἡ γὰρ ὀρφανὴ ὑπάρχει ὑπεξουσία τοῦ ἐπιτρεπευομένου αὐτῆς, δοκεῖ γὰρ δυναστεύσαντες ἢ κολακεύσαντες, καὶ διὰ τοῦτο κωλύομεν αὐτοὺς γαμεῖσθαι.

σμβ, 197	σμ, 449	CCXV	CCLI	CCLVII
σμγ, 199	σμα, 450	CCXVI	CCLII	CCLVIII
σμδ, 200	σμβ, 451	CCXVII	CCLIII	CCLIX
σμε, 202	σμγ, 453	CCXXIV	CCLIV	CCLX
σμς, 203	σμδ, 454	CCXXV	CCLV	CCLXI
λείπει	σμε, 454	λείπει	CCLVI	CCLXII
σμζ, 203	σμς, 456	CCXXVI	CCLVII	CCLXIII
σμθ, 204	σμζ, 457	CCXXVII	CCLVIII	CCLXIV
σν, 205	σμη, 457	CCXXVIII	CCLIX	CCLXV
σνα, 207	σμθ, 459	CCXXIX	CCLX	CCLXVI
σνβ, 208	σν, 460	CCXXX	CCLXI	CCLXVII
σνγ, 209	σνα, 461	CCXXXI	CCLXII	CCLXVIII
σνδ, 210	σνβ, 462	CCXXXII	CCLXIII	CCLXIX
σνε, 211	σνγ, 463	CCXXXIII	CCLXIV	CCLXX
σνς, 211	σνδ, 463	CCXXXIV	CCLXV	CCLXXI
σνζ, 212	σνε, 464	CCXXXVI	CCLXVI	CCLXXIII

(1) ὁμοίως καὶ τὰ τέσσαρα ταῦτα κεφάλαια (σελ. 804-812).

A	B	Faucher	Kausler	Bengnot
σνη, 213	σνς, 465	CCXXXVII	CCLXVII	CCLXXIV
σνθ, 214	σνζ, 466	CCXXXVIII	CCLXVIII	CCLXXV
σξ, 215	σνη, 467	CCXXXIX	CCLXIX	CCLXXVI
σξα, 216	σνθ, 468	CCXL	CCLXXI	CCLXXVIII
σξϐ, 216	σξ, 469	λείπει (1)	CCLXXII	CCLXXIX
σξγ, 217	σξα, 469	CCXLI	CCLXXIII	CCLXXX
σξδ, 218	σξϐ, 470	CCXLII	CCLXXIV	CCLXXXI
σξε, 219	σξγ, 471	CCXLIII	CCLXXV	CCLXXXII
σξς, 220	σξδ, 471	CCXLIV	CCLXXVI	CCLXXXIII
σξζ, 222	σξε, 473	CCXLV	CCLXXVII	CCLXXXIV
σξη, 223	σξς, 473	CCXLVI	CCLXXVIII	CCLXXXV
σξθ, 224	σξζ, 474	CCXLVII	CCLXXIX	CCLXXXVI
ο, 225	σξη, 475	» »	CCLXXX	CCLXXXVII
σοα, 226	σξθ, 476	CCXLVIII	CCLXXXI	CCXXXVIII
σοϐ, 227	σο, 477	CCXLIX	CCLXXXII	CCLXXXIX
σογ, 227	σοα, 477	CCL	CCLXXXIII	CCXC
σοδ, 228	σοϐ, 478	CCLI	CCLXXXIV	CCXCI
σοε, 229	σογ, 479	CCLII	CCLXXXV	CCXCII
σος, 229	σοδ, 479	CCLIII	CCLXXXVI	CCXCIII
σοζ, 230	σοε, 479	CCLIV	CCLXXXVII	CCXCIV
σοη, 230	σος, 480	CCLV	CCLXXXVIII	CCXCV
σοθ, 230	σοζ, 480	CCLVI	CCLXXXIX	CCXCVI
σπ, 231	σοη, 480	CCLVII	CCXC	CCXCVII
σπα, 231	σοθ, 480	CCLVIII	CCXCI	CCXCVIII
σπϐ, 231	σπ, 481	CCLIX	CCXCII	CCXCIX
σπγ, 231	σπα, 481	CCLX	CCXCIII	CCC
σπδ, 232	σπϐ, 481	CCLXI	CCXCIV	CCCI
σπε, 232	σπγ, 481	CCLXII	CCXCV	CCCII
σπς, 232	σπδ, 482	CCLXIII	CCXCVI	CCCIII
σπζ, 232	σπε, 482	CCLXIV	CCXCVII	CCCIV
σπη, 233	σπς, 483	CCXXI	CCXXXVI	CCXLI
» »	σπζ, 483	» »	» »	» »
λείπει	σπη, 484	λείπει	» »	» »

(1) Προσετέθη ἐν παραρτήματι (σελ. 814).

A	B	Faucher	Kausler	Beugnot
σπθ, 234	σπθ, 484	CCXXI (συνέχ.)	» »	» »
σϟ, 235	σϟ, 485	» »	» »	» »
σϟα, 235	σϟα, 485	» »	» »	» »
σϟβ, 235	σϟβ, 485	» »	» »	» »
σϟγ, 235	σϟγ, 486	» »	» »	» »
σϟδ, 236	σϟδ, 486	» »	» »	» »
σϟε, 237	σϟε, 487	CCXXII	CCXXXVII	CCXLII
σϟς, 238	σϟς, 488	» »	» »	» »
» »	σϟζ, 489	» »	» »	» »
» 242	σϟη, 493	CCXXIII	CCXXXVIII	CCXLIII

ΠΑΡΑΡΤΗΜΑ

1. ΤΥΠΟΙ ΒΥΖΑΝΤΙΝΩΝ ΣΥΜΒΟΛΑΙΩΝ.

2. ΤΥΠΟΙ ΒΑΣΙΛΙΚΩΝ ΔΙΑΤΑΓΜΑΤΩΝ.

3. ΚΡΗΤΙΚΑΙ ΔΙΑΘΗΚΑΙ.

(Παρισινὸς κῶδιξ 2509).

Τύπος τέχνης τῆς τῶν γραμματέων (1).

φ.158. 1. Ἄκτος νυμφα[γωγίας] ὅπερ λαμβάνει ὁ γαμβρός.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, Ἰωάννης ὁ δεῖνα, ἔτι δὲ κἀγὼ Μαρία ἡ δεῖνα τούτου νόμιμος σύζυγος, οἱ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἰδιοχείρως (2) προτάξαντες, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀμοιβαίαν συμφωνίαν τοῦ τελείου γαμικοῦ συναλλάγματος τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, ἀφόβως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀμεταμελήτως ὑπὲρ τῆς γνησίας θυγατρὸς ἡμῶν κυρᾶς τῆς δε, τῆς οὔσης καθὼς ἡμεῖς μαρτυροῦμεν χρόνων τελείων τόσων, συναινούσης (3) καὶ στεργούσης ἐγγράφως τὸ παρὸν συνάλλαγμα, πρὸς ὑμᾶς τοὺς ἀπὸ τὴν σήμερον θεοῦ βουλήσει μελλοσυμπεθέρους ἡμῶν, τόν τε κῦρ τὸν δεῖνα καὶ κυρὰν τήνδε τοὺς ὁμοζύγους, τοὺς ὡσαύτως πράττοντας ὑπὲρ τοῦ γνησίου υἱοῦ ὑμῶν κῦρ τοῦ δεῖνος, συναινοῦντος (4) ὑμῖν καὶ αὐτοῦ καθὼς δηλωθήσεται· καὶ γὰρ κελεύσει θείᾳ πειθόμενοι καὶ εἰς (5) λόγους ἐλθόντες περὶ γαμικοῦ συναλλάγματος, ἠράσθημεν μετ' ἀλλήλων ἀμφότερα τὰ μέρη καὶ εἰς μίαν καὶ τὴν αὐτὴν βουλὴν ἤλθομεν, ὥς τε θεοῦ προνοίᾳ καὶ χάριτι ἐπεισέρχεται (6) ἡ προδιαληφθεῖσα

(1) Τὸν τίτλον τοῦτον ἔγραψεν ὁ προτελευταῖος τοῦ κώδικος κτήτωρ Ἀντώνιος Ἔπαρχος ὁ Κερκυραῖος. (2) χειρ. ἰδιωχήρως. (3) χειρ. συνηνούσης. (4) χειρ. συνενοῦντος. (5) χειρ. οις. (6) χειρ. ἐπισέρχεται.

θυγάτηρ ἡμῶν ἡ δεῖνα ἐσώνυμφος εἰς τὴν καθ' ὑμᾶς οἰκίαν πρὸς τὸν γνήσιον [υἱὸν] ὑμῶν τὸν δεῖνα τοῦ ἱερολογηθῆναι μετ' αὐτοῦ κανονικῶς καὶ συναφθῆναι νομίμως, καὶ οὕτως εἶναι μεθ' ὑμῶν σὺν τῷ καὶ μελλομνήστορι αὐτῆς τῷ δεῖνι, ὁμόστεγος, ὁμοδίαιτος καὶ ὁμοτράπεζος, ἐκδουλεύειν τε ὑμῖν καὶ ὑπόκεισθαι ὡς εὐγνώμων θυγάτηρ τοῖς ἰδίοις γονεῦσιν· ἐπιφερομένη καὶ ὑπὲρ προικὸς αὐτῆς ταῦτα, ἤγουν (τόδε καὶ τόδε, καὶ γράφε καθεξῆς), σὺν τούτοις καὶ τὴν εὐχὴν ἡμῶν· ὡς ὀφείλει ἐκδουλεῦσαι κατὰ συμφωνίαν ὑμῖν καὶ ἀρέσκειαν χρόνους τελείους τόσους· ὡς ὑποσχομένων καὶ ὑμῶν τῶν μελλοσυμπεθέρων ἡμῶν, τοῦ εἶναι τὸν διαληφθέντα υἱὸν ὑμῶν κῦρ τὸν δεῖνα ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν ὑμῶν πράγμασιν ἀπό τε κινητῆς [καὶ] ἀκινήτου κτήσεως ἀδελφὸν καὶ κληρονόμον, ἐξ ἴσου τοῖς εὑρεθεῖσιν αὐτῷ αὐταδέλφοις ἐν καιρῷ διαιρέσεως μετὰ τῶν ἀνηκόντων (1) αὐτῷ τελεσμάτων.

Περὶ δὲ τοῦ κοινοῦ τῶν ἀνθρώπων φθορέως, θανάτου φαμέν, εἰ μὲν συμβῇ προτελευτῆσαι τὴν μελλομνήστορα καὶ θυγατέρα ἡμῶν τήνδε ἄπαιδα καὶ ἀδιάθετον, ὀφείλει ἀποκερδαίνειν ὁ ἀνὴρ αὐτῆς τὸ κραββατοστρώσιον αὐτῆς χάριν λεγάτου αὐτοῦ, ἡ δὲ λοιπὴ ἅπασα προὶξ ἀντιστραφήσεται πρὸς τοὺς ἐξ ἀδιαθέτου φυσικοὺς αὐτῆς κληρονόμους. Εἰδ' ἴσως, οἷα τὰ τοῦ θεοῦ κρίματα, ὁ ἀνὴρ αὐτῆς προτελευτήσει ἄπαις καὶ ἀδιάθετος, ἵνα λαμβάνῃ ἡ θυγάτηρ ἡμῶν καὶ σύμβιος αὐτοῦ, τὴν μὲν προῖκα αὐτῆς σώαν καὶ ἀνελλιπῆ, χάριν ὑποβολοθεωρέτρου αὐτῆς, τὸ τρίτον τῆς ἀδελφικῆς αὐτοῦ μερίδος (2).

(1) χειρ. ἀνηκουσῶν.

(2) Ἐν τέλει τοῦ ἄκτους εὕρηται καὶ ὁ ἑξῆς διάφορος τύπος « Περὶ δὲ τὸ ἄδηλον τοῦ θανάτου φαμέν, εἰ μὲν συμβῇ προτελευτῆσαι τὴν μελλομνήστορα καὶ θυγατέρα ἡμῶν τήνδε, ἐξ ἐπιζωῆς τοῦ μελλομνήστορος αὐτῆς υἱοῦ ἡμῶν τοῦδε, ἄπαιδα καὶ ἀδιάθετον, ἵνα ἀποκερδαίνῃ ὁ ἀνὴρ αὐτῆς τὸ τρίτον τοῦ ἐπιδοθέντος αὐτῷ παρ' ἡμῶν βλησιδίου

Λοιπὸν καὶ εἴ τις ἐξ ἀμφοτέρων τῶν μερῶν πρὸς ἀθέτησιν πειραθῆναι χωρῆσαι τοῦ παρόντος συναλλάγματος, ἢ πρὸς ἀνατροπὴν μιᾶς καὶ μόνης τῶν ἄνωθεν ἐμφερομένων συμφωνιῶν, ἵνα ζημιοῦται λόγῳ προστίμου πρὸς τὸ στέργον μέρος καὶ ἐμμένον, ἐκ συμφώνου καὶ ἐπερωτήσεως καὶ ὁμολογίας ἡμῶν, χρυσᾶ ὑπέρπυρα τόσα, καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον, πρὸς τῷ καὶ οὕτως ἐρρῶσθαι τὸ παρὸν συνάλλαγμα μετὰ πάντων τῶν ἀναγεγραμμένων διατάξεων, τοῦ ὕφους γραφέντος ἐξ ἐντολῆς ἡμετέρας διὰ χειρὸς νομικοῦ τοῦ δεῖνος, ἐνώπιον καὶ τῶν ὑποτεταγμένων μαρτύρων, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆς δε.

---

2. Ἄκτος δωρεᾶς.

Τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον, εἰπεῖν ἀμετάτρεπτον, ἀμετακίνητον καὶ ἀναλλοίωτον δωρεὰν τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, ἀφόβως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀμεταμελήτως, δίχα δόλου (1) τινὸς καὶ περιεργίας, ὑστεροβουλίας τε καὶ περιγραφῆς ἐκτός, μετὰ χρονίας δὲ διασκέψεως καὶ μεμεριμνημένου σκοποῦ πρὸς σὲ κῦρ τὸν δεῖνα καὶ πρὸς τὸ ὑπὸ
φ. 159. σὲ ἅπαν πρόσωπόν τε καὶ μέρος, τούς τε | παῖδας καὶ κληρονόμους καὶ διαδόχους σου καὶ τοὺς παντοίους σου διακατόχους, καθὼς δηλωθήσεται· καὶ γὰρ πολλῶν σου μεμνημένοι τῶν δωρεῶν καὶ εὐεργεσιῶν, ἠθελήσαμεν καὶ αὐτοὶ τὸ κατὰ δύναμιν

χάριν λεγάτου αὐτοῦ· εἰ δὲ οὗτος πρὸ αὐτῆς ἄπαις καὶ ἀδιάθετος φθάσει ἀποθανεῖν, ἵνα λαμβάνῃ αὕτη χάριν ὑποβελοθεωρέτρου αὐτῆς τὸ τρίτον τῆς ἐπιδοθείσης αὐτῷ μερίδος ἐκ γονικῆς κληρουχίας. Λοιπὸν καὶ εἴ τις ἐξ ἀμφοτέρων τῶν μερῶν· ζήτει τὸ ἐπίλοιπον ἔμπροσθεν. »

(1) χειρ. δούλου.

ἀνταμείψασθαί σε καὶ τὰς προγεγονυίας παρὰ σοῦ εἰς ἡμᾶς ἀφοσιώσασθαι χάριτας· τῷ τοι καὶ δωρούμεθά σοι ἀπ' ἐντεῦθεν μετ' εὐχαριστίας καὶ μεγίστης ἁπλότητος, τὸ κατὰ τὴν τοποθεσίαν τήνδε διακείμενον ἡμῖν ἀκίνητον τόδε ἀμπέλιον ἢ χωράφιον τὸ πλησίον τοῦ δεῖνος, καθὼς ἐστιν ἐξολοκλήρως (1), καὶ ἐγχωροῦμέν σοι παραλαβεῖν αὐτὸ ἀπὸ τῆς σήμερον, καὶ κτᾶσθαι αὐτὸ καὶ χρῆσθαι καὶ νέμεσθαι μετὰ παντὸς τοῦ μέρους καὶ τῶν κληρονόμων καὶ διαδόχων σου κυρίως, αὐθεντικῶς, ἰδικῶς καὶ μονομερῶς, ἀπαρασπάστως, ἀκαινοτομήτως, ἀκωλύτως καὶ ἀνεπιφωνήτως εἰς αἰῶνα τὸν ἅπαντα κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα· ἔχεις γὰρ πᾶσαν καὶ παντοίαν ἄδειαν εἰς τὸ πωλεῖν, δωρεῖσθαι, ἀνταλλάττειν, λεγατεύειν, προικοδοτεῖν καὶ ἄλλως ὡς δόξει σοι τὰ περὶ αὐτοῦ διοικεῖν, καθὼς οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοῖς ἰδίοις δεσπόταις ἐν τοῖς ἑαυτῶν ποιεῖν διακελεύονται πράγμασι, μὴ παρεμποδιζόμενος παρά τινος προσώπου τὸ σύνολον, μήτε μὴν ἐξερευνώμενος, ἢ πολυπραγμονούμενος οὐ παρ' ἡμῶν αὐτῶν τῶν δωρησαμένων, ἢ τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν καὶ παντοίων ἡμῶν τῶν διακατόχων, οὐ παρ' ἑτέρου συγγενικοῦ ἡμῶν καὶ ἐξωτέρου προσώπου. Οὐ μεταμεληούμεθα οὖν περὶ τὴν παροῦσαν ἡμῶν ἁπλῆν δωρεάν, οὐδὲ πρὸς ἀνατροπὴν ταύτης χωρῆσαι τολμήσομεν ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον, ἐμμένειν δὲ μᾶλλον ὀφείλομεν ἐπὶ ταύτην καὶ δερενδεύειν τὸ δωρηθέν σοι ἀμπέλιον ἢ χωράφιον ἐξ ἁπάντων τῶν συγγενικῶν ἡμῶν ἢ καὶ ἐξ ἑτέρων προσώπων, καὶ διεκνικᾷν αὐτοῦ τὸν καθολικὸν δεφενσίωνα, εἰ καὶ ἀπὸ τοῦ νόμου τοῦτο ποιεῖν οὐ καταναγκαζόμεθα, καὶ σὲ ἀζήμιον καὶ ἀνενόχλητον διατηρεῖν. Λοιπὸν καὶ παρὰ σοῦ ἐπερωτώμενοι, ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα ὡς, ἐὰν πρὸς ἀνατροπὴν τῆς παρούσης ἡμῶν χωρήσω-

(1) χειρ. ἐξοχλήρως.

μεν ἁπλῆς δωρεᾶς, καὶ ἢ διατίμησιν, ἢ ἀμοιβήν, ἢ ἀντιχάριτα, ἢ ἄλλο τι χάριν τῆς τοιαύτης δωρεᾶς ἐπιζητήσωμεν ἀπὸ σοῦ, ἢ περὶ τὸν καθολικὸν ἀμελήσωμεν δεφενσίωνα, ἢ συναρπαγήν, ἢ ἀπάτην, ἢ βίαν, ἢ φόβον, ἢ καταδυναστείαν, ἢ νόμου καὶ φάκτου ἄγνοιαν προβαλλώμεθα, καὶ κατὰ ἄλλον τινὰ τρόπον τὴν ἐναντίαν βαδίσωμεν τοῦ παρόντος ἐγγράφου ἡμῶν, καὶ τὴν δεσποτείαν τοῦ δωρηθέντος σοι ἀμπελίου πάλιν ἀνακαλεσώμεθα, πρὸς τὸ μὴ εἰσακούεσθαι, οὐ μόνον τὰς ἀρὰς τῶν τιη' ἁγίων πατέρων ἵνα ἐπισπασώμεθα, ἀλλὰ καὶ λόγῳ προστίμου τῆς ἐπερωτήσεώς σου καὶ ὁμολογίας ἡμῶν, ἵνα ζημιούμεθα πρὸς σὲ καὶ τὸ μέρος σου χρυσᾶ ὑπέρπυρα τόσα καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον, πρὸς τὸ καὶ οὕτως ἐρρῶσθαι τὴν παροῦσαν ἡμῶν ἁπλῆν δωρεάν, τὴν καὶ γραφεῖσαν ἐξ ἐντολῆς ἡμετέρας διὰ χειρὸς νομικοῦ τοῦδε, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆς δε.

---

3. Οὐκ ἀπ' ἐντεῦθεν, ἀλλὰ μετὰ τὴν τελευτήν (1).

Τῷ τοι καὶ δωρούμεθά σοι οὐκ ἀπεντεῦθεν, ἀλλὰ μετὰ τὴν ἡμῶν τελευτὴν τὸ κατὰ τὴν τοποθεσίαν τὴν δεῖνα ἀκίνητον ἡμῶν τόδε οἷον καὶ ὅσον ἐστιν ἐξολοκλήρως, καὶ τὴν μὲν δεσποτείαν τούτου διαβιβάζομεν πρὸς σὲ ἀπὸ τῆς σήμερον διὰ τοῦ παρόντος δωρεαστικοῦ ἐγγράφου ἡμῶν, τὴν δὲ νομὴν καὶ χρῆσιν ὀφείλεις (2) παραλαβεῖν μετὰ τὴν ἡμῶν τελευτήν, ὡς ὀφειλόντων ἡμῶν κατέχειν καὶ νέμεσθαι τοῦτο ἀταράχως ἐφ' ὅρῳ τῆς ἰδίας ζωῆς, μετὰ δὲ τὴν τελευτὴν ἡμῶν μὴ ἐχόντων ἄδειαν πρὸς ἕτερον αὐτὸ παραπέμψαι πρόσωπον ἀλλ' ἢ πρὸς σέ· εὐθὺς γὰρ ἅμα τῷ θανάτῳ ἡμῶν ἐπανελεύσεται πρὸς σὲ

(1) Ἀλλοῖος τύπος τοῦ προδεδημοσιευμένου ἄκτους δωρεᾶς.
(2) χειρ. ὀφείλειν.

σὺν τῇ δεσποτείᾳ καὶ ἡ νομὴ τοῦ τοιούτου ἀμπελίου, καὶ εἰσέλθῃς καὶ παραλάβῃς αὐτὸ αὐθεντικῶς, ἰδικῶς καὶ κυρίως, καὶ μὴ δεόμενος ἑτέρας παραδόσεως, τοῦ δὲ παρόντος ἐγγράφου ἡμῶν ἀρκοῦντός σοι καὶ ἀντὶ πρακτικῆς σωματικῆς παραδόσεως (1) εἰς τὸ κατέχειν τὸ τοιοῦτον ἀμπέλιον δεσποτικῷ δικαίῳ, καὶ κτᾶσθαι τοῦτο καὶ χρῆσθαι καὶ νέμεσθαι μετὰ παντὸς τοῦ μέρους σου τῶν τε παίδων καὶ κληρονόμων καὶ διαδόχων σου κυρίως, αὐθεντικῶς, ἰδικῶς καὶ μονομερῶς, ἀπαρασπάστως, ἀκαινοτομήτως (2), ἀνενοχλήτως, ἀκωλύτως καὶ ἀνεπιφωνήτως εἰς τὸ πωλεῖν . . .

---

4. Ἄκτος πράσεως ἀκινήτων.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· ὁ δεῖνα, ἔτι δὲ κἀγὼ ἡ δεῖνα ἡ τούτου νόμιμος σύζυγος, οἱ καὶ ἐν ἀρχῇ τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἰδιοχείρως ποιήσαντες, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον
| καθαρὰν καὶ ἀπερίεργον πρᾶσιν τοῦ χωραφίου, ἢ τοῦ ἀμπε- φ.160a
λίου τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, ἀφόβως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀμεταμελήτως πρὸς σὲ κῦρ τὸν δεῖνα καὶ πρὸς τὸ ὑπὸ σὲ ἅπαν πρόσωπόν τε καὶ μέρος τούς τε παῖδας καὶ διαδόχους καὶ κληρονόμους σου καὶ τοὺς παντοίους σου διακατόχους, καθὼς δηλωθήσεται· καὶ γὰρ γνώμῃ οἰκείᾳ ἡμῶν καὶ βουλήσει καὶ θελήσει, ὡς ἀνωτέρω προλέλεκται, πεπράκαμέν σοι τὸ προσὸν ἡμῖν ἀμπέλιον ἢ χωράφιον τὸ κατὰ τὴν τοποθεσίαν τὴν δεῖνα πλησίον τοῦ δεῖνος, οἷον καὶ ὅσον ἐστίν,

(1) χειρ. περιδόσεως. (2) χειρ. ἀκενοτομήτως.

ἐξολοκλήρως, εἰς ὑπέρπυρα τόσα, ἃ καὶ λαβόντες σήμερον ἀπὸ σοῦ χειροδότως ἅμα καὶ μετρητῶς κατὰ τὸ ἀπαράλειπτον ἐπ' ὄψεσι τῶν μαρτύρων τοῦ τε δεῖνος καὶ τοῦ δεῖνος, παραδεδώκαμέν σοι ἀπ' ἐντεῦθεν τὸ προειρημένον ἀμπέλιον, ἀρκοῦντός σοι τοῦ παρόντος ἐγγράφου ἡμῶν καὶ ἀντὶ πρακτικῆς σωματικῆς παραδόσεως, ὡς ἂν κατέχῃς καὶ νέμῃ αὐτὸ κυρίως, αὐθεντικῶς, ἰδικῶς καὶ μονομερῶς, ἀπαρασπάστως, ἀκαινοτομήτως, ἀνενοχλήτως, ἀκωλύτως καὶ ἀνεπιφωνήτως κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα εἰς τὸ πωλεῖν, δωρεῖσθαι, ἀνταλλάττειν, λεγατεύειν, προικοδοτεῖν, καὶ ἄλλως ὡς δόξει σοι τὰ περὶ αὐτοῦ διοικεῖν, μὴ παρεμποδιζόμενος παρά τινος προσώπου τὸ σύνολον, μήτε μὴν ἐξερευνώμενος, ἢ πολυπραγμονούμενος οὐ παρ' ἡμῶν αὐτῶν, ἢ ἑτέρου τινὸς τῶν ἀπὸ τοῦ μέρους ἡμῶν· λοιπὸν οὐχ ἕξομεν ἐπ' ἀδείας πρὸς μετάμελον (1) καὶ ἀνατροπὴν χωρῆσαι τοῦ παρόντος πρατηρίου ἐγγράφου ἡμῶν, ἢ τὴν δεσποτείαν τοῦ διαπραθέντος σοι ἀμπελίου πάλιν ἀνακαλέσασθαι, ἢ περὶ πλεῖον τιμῆς ἐνάγειν σε. Ὅθεν καὶ παρὰ σοῦ ἐπερωτώμενοι, ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα ὡς, ἐὰν πρὸς ἀνατροπὴν χωρήσωμεν τῆς παρούσης ἡμῶν πράσεως καὶ ὄχλησίν σοι τὴν οἱανοῦν ἐπενεγκεῖν πειραθῶμεν ὅπως δήποτε καθ' οἱονδήτινα τρόπον ἐν οἱῳδήποτε χρόνῳ, πρὸς τὸ μὴ εἰσακούεσθαι, οὐ μόνον ἃ ἐλάβομεν ἀπὸ σοῦ ὑπέρπυρα τρικέφαλα τόσα ἵνα ἀντιστρέφωμέν σοι εἰς τὸ διπλάσιον, ἀλλὰ καὶ προστίμῳ ὑποκείμεθα χρυσᾶ ὑπέρπυρα τόσα, ζημιωθησόμεθα δὲ καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον πρὸς τὸ καὶ οὕτως ἐρρῶσθαι τὸ παρὸν ἡμῶν πρατήριον ἔγγραφον, τὸ καὶ γραφὲν ἐξ ἐντολῆς ἡμετέρας διὰ χειρὸς νομικοῦ τοῦ δεῖνος ἐνώπιον καὶ τῶν ὑποτεταγμένων μαρτύρων, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆς δε.

(1) χειρ. μετάμελλον.

5. Ἄκτος ἐπιβραβευτικὸν θείων ναῶν ἢ μοναστηρίων (1).

Τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἐπιβραβευτικὴν ἀφιέρωσίν τε καὶ προσκύρωσιν τοῦ δηλωθησομένου (2) ἀμπελίου ἢ χωραφίου τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίᾳ ἡμῶν τῇ γνώμῃ καὶ αὐτοπροαιρέτῳ βουλῇ, καὶ οὐκ ἀσκέπτως, οὐδ' ἀδοκιμάστως, οὐκ ἔκ τινος συναρπαγῆς, ἢ ἀπάτης, ἢ φόβου, ἢ βίας, ἢ καταδυναστείας, ἢ δόλου, ἢ περιεργείας, ἢ νόμου καὶ φάκτου ἀγνοίας, ἢ ἄλλης τινὸς ἐπιψόγου καὶ τοῖς θείοις νόμοις ἀπηγορευμένης αἰτίας, σὺν προθυμίᾳ δὲ μᾶλλον πολλῇ καὶ ὁλοψύχῳ προθέσει καὶ γνώμῃ καὶ μετὰ μεγίστης ἡμῶν τῆς ἀποδοχῆς καὶ θελήσεως, χρονίας τε διασκέψεως καὶ μεμεριμνημένου σκοποῦ, πρὸς σὲ τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας μονῆς ἡμῶν Θεοτόκου τῆς δε καὶ πνευματικὸν πατέρα ἡμῶν κῦρ τόν δε, καὶ πρὸς πάντας τοὺς ὑπὸ σὲ τιμιωτάτους μοναχοὺς τῆς τοιαύτης ἁγίας μονῆς, διὰ μεσήτριαν καὶ βοηθὸν τὴν ὑπεραγίαν δέσποιναν ἡμῶν Θεοτόκον καὶ πρὸς τὸ ὅλον μέρος καὶ τὰ δίκαια τῆς τοιαύτης ἁγίας μονῆς, καθὼς δηλωθήσεται· καὶ γὰρ πόθον διάπυρον καὶ σχέσιν ἐγκάρδιον κεκτημένοι πρὸς τὴν ὑπεράμωμον καὶ ὑπέραγνον Δέσποιναν ἅτε καὶ μεσῖτιν ἡμῶν . . . (3).

---

6. Ἕτερον εἰς τὸ αὐτὸ ἤγουν ἔγγραφον?

Καὶ γὰρ ἀθάνατον εἶναι βουλόμενοι τὸ μνημόσυνον ἡμῶν καὶ μετὰ τὴν ἡμῶν τελευτὴν ἀτελεύτητον, δέον εἶναι ᾠήθημεν ἀπὸ τῶν προσόντων ἡμῖν ἀκινήτων μέρος τι καθιερῶσαι

(1) χειρ. θεῖον ναὸν ἢ μοναστήριον. (2) χειρ. δηλωθομένου. (3) Μεταγενεστέρα χεὶρ προσέθετο « λύπιτο » = λείπει το.

τῷ θεῷ χάριν μνήμης ἡμῶν διηνεκοῦς καὶ εἰς ἐξίλασμα τῶν ἁμαρτιῶν ἡμῶν· ὅθεν καὶ ἐπιβραβεύομεν ἀπ' ἐντεῦθεν καὶ προσκυροῦμεν, καὶ ἀφιεροῦμεν καὶ ἀνατιθέαμεν τῷ θείῳ ναῷ τοῦ ἁγίου τοῦδε . . .

---

7. Ὅταν οὐκ ἔχουσιν οἱ χαρί[ζοντες τέκνα?]

Καὶ γὰρ ἐπειδὴ οὐκ ἐτύχομεν γονεῖς ἐξ ὀσφύος ἡμῶν, οὐδὲ παίδων ἠξιώθημεν ὀνομασθῆναι πατέρες, τρόποις οἷς οἶδεν ὁ τὰ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν θεός, δέον εἶναι ᾠήθημεν τὰ προσόντα ἡμῶν ἀκίνητα εἰς τὴν μέλλουσαν διαβιβάσαι κληρονομίαν καὶ τῷ θεῷ ταῦτα ἐξολοκλήρως ἀφιερῶσαι. Ὅθεν καὶ ἐπιβραβεύομεν καὶ προσκυροῦμεν καὶ ἀφιεροῦμεν καὶ ἀνατιθέαμεν τῷ θείῳ ναῷ τοῦ ἁγίου τοῦδε τῷ ἐν τῇ καθ' ὑμᾶς ἁγίᾳ μονῇ τῇδε, οὐκ ἀπεντεῦθεν, ἀλλὰ μετὰ τὴν ἡμῶν τῶν ἀμφοτέρων τελευτὴν τάδε καὶ τάδε μετὰ πάσης τῆς περιοχῆς
φ. 161. αὐτῶν καὶ | διακρατήσεως καὶ τῶν δικαίων πάντων καὶ προνομίων, ἅπερ πάντα τὰ διαληφθέντα ἀκίνητα ὀφείλομεν κατέχειν καὶ νέμεσθαι ἀμφότεροι οἱ ὁμόζυγοι μέχρι τέλους τῆς ζωῆς ἡμῶν, μετὰ δὲ τὴν ἡμῶν τελευτὴν ἵνα παραλαμβάνῃ ἡ ἁγία μονή, ἀρκοῦντος αὐτῇ τοῦ παρόντος ἐγγράφου ἡμῶν καὶ ἀντὶ πρακτικῆς σωματικῆς παραδόσεως, ὡς ἂν κατέχῃ ταῦτα μετὰ παντὸς τοῦ μέρους αὐτῆς εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους.

---

8. Ἄκτος πράσεως ἀκινήτων.

Τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον καθαρὰν καὶ ἀπερίεργον πρᾶσιν τοῦ δηλωθησομένου ἀκινήτου καὶ ἀπόληψιν τοῦ ὅλου τιμήματος τούτου τῶν τόσων χρυσῶν ὑπερπύρων τιθέ-

μεθα καὶ ποιοῦμεν ἑκουσίως, ἀφόβως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀμεταμελήτως, πάσης ἐκτὸς παροινίας καὶ δόλου καὶ λοιπῶν αἰτιῶν τῶν τοῖς νόμοις ἀπηγορευμένων πρὸς σὲ τὸν δεῖνα καὶ ὅλον τὸ μέρος σου, τούς τε παῖδας καὶ κληρονόμους καὶ διαδόχους σὸυ καὶ τοὺς παντοίους σου διακατόχους, καθὼς δηλωθήσεται· καὶ γὰρ συναρεσθέντες μετὰ σοῦ πεπράκαμέν σοι ἀπεντεῦθεν καλῇ τῇ πίστει καὶ ἐξ οὐδεμιᾶς ἀνάγκης, μετὰ καθολικοῦ δεφενσίωνος καὶ πάσης ἄλλης νομίμου ἀσφαλείας καὶ βοηθείας, τὸ κατὰ τὴν τοποθεσίαν τὴν δεῖνα πλησίον τοῦδε διακείμενον χωράφιον ἡμῶν τὸ καὶ ποσούμενον μοδίων τόσων, ἐπὶ τιμήματι ὑπερπύρων τρικεφάλων τόσων, καθὼς ἀμφότεροι συνηρέσθημεν· καὶ τὰ τοιαῦτα τόσα χρυσᾶ ὑπέρπυρα τρικέφαλα χειροδότως ἅμα καὶ μετρητῶς ἀπὸ τῶν σῶν χειρῶν λαβόντες ἡμεῖς κατὰ τὴν σήμερον ἐπ' ὄψεσι τῶν μαρτύρων τοῦ δεῖνος καὶ τοῦ δεῖνος, καὶ τελείως ἐκπληρωθὲν τὸ ὅλον τίμημα τοῦ τοιούτου χωραφίου, παραδεδώκαμέν σοι τοῦτο ἀπὸ τοῦ νῦν, ἀρκοῦντός σοι τοῦ παρόντος ἐγγράφου ἡμῶν καὶ ἀντὶ πρακτικῆς σωματικῆς παραδόσεως, καὶ ἐγχωροῦμέν σοι κτᾶσθαι αὐτὸ ἀπεντεῦθεν καὶ χρῆσθαι καὶ νέμεσθαι μετὰ παντὸς τοῦ μέρους σου, τῶν τε παίδων καὶ διαδόχων καὶ κληρονόμων σου, κυρίως, αὐθεντικῶς καὶ μονομερῶς, ἀπαρασπάστως, ἀκαινοτομήτως καὶ ἀνεπιφωνήτως, κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα εἰς τὸ πωλεῖν, δωρεῖσθαι, ἀνταλλάττειν, λεγατεύειν, προικοδοτεῖν, βελτιοῦν τε καὶ καταφυτεύειν, τἄλλα πάντα ποιεῖν ὅσα παρὰ τῶν θείων καὶ φιλευσεβῶν ἐφεῖται νόμων, καὶ παντοίως ἐκποιεῖσθαι αὐτὸ κατὰ πάντας τοὺς τῆς ἐκποιήσεως τρόπους, καθὼς ἂν δόξῃ σοι καὶ οἱ νόμοι διακελεύωνται.

Οὐ μεταμελησόμεθα οὖν ἀπό γε τοῦ νῦν περὶ τὴν παροῦσαν πρᾶσιν, οὐδὲ πρὸς ἀνατροπὴν ταύτης χωρῆσαι τολμεύσομεν ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον, ἐμμένειν δὲ μᾶλλον ὀφείλομεν ἐπὶ ταύτην καὶ δεφενδεύειν τὸ διαπραχθὲν

σοι ἀμπέλιον, ἢ χωράφιον ἀπὸ παντὸς προσώπου ἰδίου τε καὶ ἀλλοτρίου, καὶ διεκνικᾷν αὐτοῦ τὸν κατὰ νόμους καθολικὸν πραγμάτων δεφενσίωνα ἐξ ἁπάντων τῶν ἑτέρων ἀκινήτων ἡμῶν, καὶ σὲ ἀζήμιον καὶ ἀνενόχλητον διατηρεῖν· λοιπὸν καὶ περὶ (1) σοῦ ἐπερωτώμενοι ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα ὡς, ἐὰν πρὸς ἀνατροπὴν τῆς παρούσης ἡμῶν χωρήσωμεν πράσεως, καὶ ἢ πλεῖον τίμημα προσαπαιτήσωμέν σε, ἢ περὶ τὸν καθολικὸν ἀμελήσωμεν δεφενσίωνα, ἢ καὶ ἀναργυρίαν ὧν ἐλάβομεν ἀπὸ σοῦ τόσων χρυσῶν ὑπερπύρων προσθήσομεν μερικὴν ἢ ὁλόκληρον, ἢ διπλασιασμόν, ἢ ὑπερθεματισμὸν παρεισάξομεν, ἢ τὸ ἀπὸ τῆς ὑπὲρ τὸ διπλάσιον περιγραφῆς ἀνακαλεσόμεθα δίκαιον, ἢ κατὰ ἄλλον τινὰ λόγον τὴν ἐναντίαν βαδίσομεν τοῦ παρόντος ἐγγράφου ἡμῶν, πρὸς τὸ μὴ εἰσακούεσθαι, οὐ μόνον ἃ ἐλάβομεν ἀπὸ σοῦ χρυσᾶ ὑπέρπυρα τρικέφαλα τόσα ἵνα σοι ἀντιστρέφωμεν εἰς τὸ διπλάσιον, ἀλλὰ καὶ χάριν προστίμου ἵνα ζημιώμεθα πρὸς σὲ καὶ τὸ μέρος σου χρυσᾶ ὑπέρπυρα τόσα, καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον, καὶ αὖθις ἐρρῶσθαι τὴν παροῦσαν ἀφιέρωσιν ἰσχυρὰν διαμένουσαν καὶ τοῖς νόμοις εὐπρόσδεκτον, μέχρις ὅτου ὁ παρὼν διαβαίη (2) χρόνος (3), τοῦ ὕφους γραφέντος ἐξ ἐντολῆς ἡμετέρας διὰ χειρὸς νομικοῦ τοῦ δεῖνος, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆς δε.

9. Ἄκτος ἐλευθερίας ψυχαρίου.

Ἡ τὸν ἄνθρωπον κατ᾽ ἀρχὰς διαπλάσασα πρόνοια ἐλεύθερον τοῦτον καὶ αὐτεξούσιον ἔπλασεν, αὐτῷ μόνῳ τῷ πλάστῃ τούτου καὶ θεῷ δουλούμενον, πλεονεξία δὲ εἰς τὸν κόσμον ὑπεισελθοῦσα τὸ φύσει ὁμόδουλον εἴς τε τὸ ἄρχον καὶ τὸ ἀρχόμενον

(1) γραπτέον, παρά. (2) γραπτέον, διαβιώη.
(3) ἄνω σημειοῦται « γράφε αἰών ».

κατέτεμε, καὶ τὴν ἐλευθερίαν καὶ αὐτεξουσιότητα εἰς δουλείαν μετήλλαξεν· ὅθεν καὶ σὲ τὸν ἀργυρώνητον οἰκέτην κἀμοῦ τοῦ δεῖνος ἡ τοῦ βίου τούτου ἄστατος φορὰ δεσμῷ δουλείας ὑπαγαγοῦσα, ἐκδουλεύειν μοι παρεσκεύασεν· ἀλλ' ἐγὼ χρήζων θείας φιλανθρωπίας, ἐλεύ|θερόν σε ἀπὸ τοῦ νῦν διαφίημι, ὡς ἂν ἀδεῶς φ.162. τε καὶ ἐλευθέρως ἔνθα ἂν ἐθέλῃς πορεύῃ, μηδεμίαν ἔτι δούλωσιν ὑφορώμενος. Οὔτε οὖν ἐγώ, οὔτε ἄλλος τις ἀπὸ τοῦ μέρους μου, ἢ ἀφ' ἑτέρου προσώπου συγγενικοῦ μου ἴσως ἢ ἀλλοτρίου, ἄδειαν ἕξει ἀπὸ τὴν σήμερον εἰς δουλικήν σε τύχην ἐπικατάγειν τὸ σύνολον, εἰ μὴ βούλεται ὁ τοιοῦτος, ὅστις ἂν καὶ εἴη, χάριν τῆς τοιαύτης αὐτοῦ ἀπανθρώπου ἐπιχειρήσεως, ζημιωθῆναι πρὸς τὸ βασιλικὸν βεστιάριον χρυσᾶ ὑπέρπυρα τόσα, σὺ δὲ τῇ ἐλευθερίᾳ τιμᾶσθαι καὶ πολίτης Ρωμαίων ὀνομάζεσθαι. Διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν τῆς ἐλευθερίας συμβόλαιον ἐνεχείρισά σοι εἰς ἀσφάλειαν, τὸ καὶ γραφὲν ἐξ ἐντολῆς ἡμετέρας διὰ χειρὸς νομικοῦ τοῦ δεινός, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆσδε.

---

10. Ἄκτος ἀποχῆς ἀκινήτων ἐπὶ συγγενῆ τὸν ἐκ γένους.

Τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀποχὴν καὶ ἀπόταξιν παντελῆ τῶν δηλωθησομένων ἀκινήτων τίθημι καὶ ποιῶ ἑκουσίως, ἀφόβως καὶ ἀμεταμελήτως, καθαρῶς τε καὶ ἀβιάστως, πάσης ἐκτὸς περινοίας καὶ δόλου καὶ λοιπῶν αἰτιῶν τῶν τοῖς νόμοις ἀπηγορευμένων πρὸς σὲ τὸν γνήσιόν μου αὐτάδελφον κῦρ τόνδε καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ ἅπαν πρόσωπόν τε καὶ μέρος καὶ πρὸς αὐτοὺς τοὺς κληρονόμους καὶ διαδόχους σου καὶ τοὺς παντοίους σου διακατόχους, καθὼς δηλωθήσεται· καὶ γὰρ ἐπικοίνως δεσποζόντων ἡμῶν καὶ νεμομένων μέχρι τοῦ νῦν τὰ ἐν τῷ στίχῳ τῷδε ἀναγραφόμενα γονικὰ ἡμῶν ἀκί-

νητα πράγματα, καὶ τὸ τούτων τέλος κοινῶς τελούντων πρὸς τὸν δεῖνα, τὰ νῦν ἠθέλησα ἐγὼ ὑπεκστῆναι τῆς δεσποτείας τε καὶ νομῆς τῶν τοιούτων ἀκινήτων καὶ σοὶ τῷ αὐταδέλφῳ μου ταύτην παραχωρῆσαι· ὅθεν καὶ ὑπεξίσταμαι ἀπεντεῦθεν τῆς δεσποτείας τῶν τοιούτων ἀκινήτων μετὰ παντὸς τοῦ μέρους καὶ τῶν κληρονόμων καὶ διαδόχων μου, καὶ ἀποβάλλομαι ταῦτα καὶ ἀποτάσσομαι διὰ τοῦ παρόντος ἐγγράφου μου, σὺν αὐτοῖς δὲ καὶ εἴ τι δίκαιον εἶχον ἐπὶ τούτοις μέχρι τοῦ νῦν, τό τε τῆς κληρονομίας, τὸ τῆς συγγενείας, τὸ ἀπὸ πλησιασμοῦ, τὸ ἀπὸ συντελέσματος, καὶ τὸ ἀπὸ ἄλλου τρόπου οἱουδήτινος, καὶ ἀποχὴν τούτων παντελῆ ποιοῦμαι. Λοιπὸν καὶ παρὰ σοῦ ἐπερωτώμενος ὁμολογῶ καὶ ἀσφαλίζομαι ὡς, ἐὰν πρὸς ἀνατροπὴν τοῦ παρόντος ἐγγράφου μου χωρήσω καὶ ἅπερ ἀπεταξάμην ἀκίνητα πάλιν ἀνακαλέσωμαι... (1).

---

11. [Ἄκτος δωρεᾶς ἀμπελίου εἰς μονήν] (2).

.... καὶ δεφενδεύειν τὸ τοιοῦτον ἀμπέλιον συμφωνοῦμεν ἐὰν παρά τινος ἴσως ἐκνικᾶται, καὶ διεκνικᾷν αὐτοῦ τὸν κατὰ νόμους καθολικὸν δεφενσίωνα ἐξ ἁπάντων τῶν ἑτέρων ἀκινήτων πραγμάτων ἡμῶν, εἰ καὶ ἀπὸ τοῦ νόμου τοῦτο ποιεῖν οὐ καταναγκαζόμεθα, καὶ τὴν ἁγίαν μονὴν ἀδιάσειστον καὶ ἀνενόχλητον διατηρεῖν· μνημονευώμεθα δὲ καὶ ἡμᾶς καθ' ἑκάστην ἐν τῇ ἁγίᾳ μονῇ, ἐγγεγραμμένοι ὄντες ἐν τοῖς ἱεροῖς

(1) Μεταγενεστέρα χεὶρ ἐπέγραψεν « λίπι το ».

(2) Κατὰ λάθος ἀντεγράφη τὸ παρὸν ἄκτος ὡς συνέχεια τοῦ προηγουμένου· τοῦτο ἀναγνωρίσας εἷς τῶν κτητόρων τοῦ κώδικος διεχώρισε τὰ δύο διάφορα κείμενα, προσθεὶς ἄνωθι « ἄλλον ». Οὐδόλως δὲ ἀπίθανον ὅτι τὸ ἀτελὲς τοῦτο δωρητήριον ἐστὶ τὸ ἐλλεῖπον τέλος τῶν ὁμοιοειδῶν ἄκτων 5 καὶ 6.

διπτύχοις μετὰ τῶν λοιπῶν χαριστικαρίων, μετὰ τὴν ἡμῶν τελευτὴν εἰς τὸ διηνεκές. Λοιπὸν καὶ παρὰ τοῦ μέρους τῆς ἁγίας μονῆς ἐπερωτώμενοι, ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα ὡς, ἐὰν πρὸς ἀνατροπὴν τοῦ παρόντος ἡμῶν ἐγγράφου (1) καθόλου χωρήσωμεν καὶ ἢ ἀμοιβήν τινα χωρὶς μόνου τοῦ μνημοσύνου ἐπιζητήσωμεν ἀπὸ τῆς μονῆς, ἢ κατὰ ἄλλον τινὰ λόγον τὴν ἐναντίαν βαδίσωμεν τοῦ τοιούτου ἐγγράφου καὶ ἰῶτα ἓν ἢ μίαν κεραίαν ἐκ τούτου ἀνατρέψαι πειραθῶμεν, πρὸς τὸ μὴ εἰσακούεσθαι, οὐ μόνον τὰς ἀρὰς τῶν τιη' ἁγίων θεοφόρων πατέρων ἵνα κληρονομῶμεν καὶ μετὰ τῶν ἀρνητῶν τοῦ Χριστοῦ ταττώμεθα ὡς ἀρνηταὶ τῶν ἰδιοχείρων ἡμῶν, ἀλλὰ καὶ λόγῳ προστίμου ἵνα ζημιούμεθα πρὸς τὴν ἁγίαν μονὴν καὶ τὸ μέρος αὐτῆς χρυσᾶ ὑπέρπυρα τόσα καὶ πρὸς τὸ δημόσιον τὸ τούτων (2) τρίτον, καὶ αὖθις ἐρρῶσθαι τὴν παροῦσαν ἀφιέρωσιν, ἰσχυρὰν διαμένουσαν (3) καὶ τοῖς νόμοις εὐπρόσδεκτον, μέχρις ὅτου ὁ παρὼν διαδαίη αἰών, τοῦ ὕφους γραφέντος ἐξ ἐντολῆς ἡμετέρας διὰ χειρὸς νομικοῦ τοῦ δεῖνος, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆσδε.

---

12. Ἄκτος ἐκδόσεως ἀμπέλιον ἐφημισάρικον.

Καὶ γὰρ ἐκδίδωμι πρὸς σὲ τὸν δεῖνα καὶ τὸ μέρος σου τὸ κατὰ τὴν τοποθεσίαν τὴν δεῖνα διακείμενον ἀμπέλιον πλησίον τοῦ δεῖνος, ὡς ἂν κατέχῃς ἐπὶ χρόνοις τόσοις, ἀριθμουμένοις (4) ἀπ' ἀρχῆς τῆς μελλούσης εἰσιέναι τόσης ἰνδικτιῶνος καὶ ἐπὶ τοῖς ἔμπροσθεν, καὶ ἐργάζῃ αὐτὸ καθ' ἑκάστην ἐγχρονίαν ἐγκαίρως κατὰ γεωργικὴν ἀκρίβειαν, λακίζων αὐτὸ καὶ κλαδεύων |, φ.163

(1) χειρ. ἐγγάφου. (2) χ. τούτω. (3) χ. διαμένουσα.
(4) χειρ. ἀριθμουμένης.

σκάπτων καὶ διασκαφίζων, καταβολεύων τε ἐν οἷς ἂν δέηται τόποις καὶ συναμπελίζων, παντοίως ἐπιμελούμενος ἐξ οἰκείων σου πασῶν ἐξόδων καὶ ἀναλωμάτων, μὴ καταβαλλομένου μου εἰς πάσας αὐτοῦ τὰς ἐξόδους τὸ οἱονοῦν· κατὰ δὲ τὸν καιρὸν τοῦ τρυγητοῦ, ἵνα τρυγῆται ὡσαύτως παρὰ σοῦ καὶ ἐναποτίθωνται αἱ γεωργηθεῖσαι σταφυλαὶ ἐν ληνῷ, εἶτα καὶ πατῶνται (1) καὶ ἐκθλίβωνται παρὰ σοῦ, μὴ ἐπιγινώσκοντός μου ἐν πᾶσι τούτοις ἔξοδον τὴν οἱανοῦν, ἀλλὰ σοῦ μόνον ταύτας καταβαλλομένου· ὁ δὲ γεωργηθεὶς οἶνος ἵνα μερίζεται παρ' ἡμῶν ἀμφοτέρων ἐπίσης ἐξ αὐτῆς τῆς ληνοῦ, καὶ λαμβάνω ἐγὼ χάριν τοῦ ἀμπελίου μου τὸν ἥμισυν (2) οἶνον· καὶ οὕτω ποιῶν, καὶ παντοίως τὰ πρὸς βελτίωσιν καὶ φιλοκαλίαν τοῦ τοιούτου ἀμπελίου φροντίζων, καὶ ἐντέχνως αὐτὸ ὡς ἴδιόν σου περιποιούμενος, ἵνα κατέχῃς αὐτὸ μέχρι τῆς τόσων ἐνιαυτῶν ἐκμετρήσεως· μετὰ δὲ τὴν τούτων ἐκπλήρωσιν παραδίδως τοῦτο πρὸς ἐμὲ ἐν πάσῃ ἐπιμελείᾳ γεωργικῶς πεποιημένον. Οὔτε οὖν ἐγὼ ἕξω ἄδειαν ἀπὸ τοῦ νῦν ἐκδιώκειν σε ἀπὸ τοῦ τοιούτου ἀμπελίου πρὸ τῆς ἐκπληρώσεως τῶν τόσων ἐνιαυτῶν, ἢ ἐπέκεινα τοῦ ἡμίσεως καρποῦ ἕτερόν τι ἀπὸ σοῦ ἐπιζητῆσαι, οὔτε σὺ τοῦ καταλιμπάνειν αὐτὸ πρὸ τῆς ἐκμετρήσεως τῶν τόσων χρόνων, ἢ εἰς δόσιν οἱαςδήτινος ἐξόδου καθελκῦσαί με, ἢ ἐπέκεινα τοῦ ἡμίσεως καρποῦ ἕτερόν τι ἰδιοποιήσασθαι (3), ἢ πρὸς τὰς δεούσας περιποιήσεις τοῦ τοιούτου (4) ἀμπελίου καταμελῆσαι, ἀλλ' ἐμμενοῦμεν (5) ἀμφότεροι ἐπὶ τοῖς συμφωνηθεῖσι μέσον ἡμῶν. Εἰ δέ τις ἐξ ἡμῶν τὴν ἐναντίαν βαδίσαι πειραθῇ τῶν συμπεφωνημένων καὶ ὄχλησιν τὴν οἱανοῦν τῷ ἑτέρῳ μέρει ἐπάξει, ἵνα ζημιῆται λόγῳ προστίμου πρὸς τὸ στέργον μέρος καὶ ἐμμένον χρυσᾶ ὑπέρπυρα τόσα, καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον.

(1) χειρ. παντῶνται. (2) ἥμισυ. (3) ἰδίοποιῆσθαι. (4) τοιούτον.
(5) χειρ. ἐμενοῦμεν.

13. Ἄκτος ἐκδοτηρίου ἐγγράφου (1) εἰς χωράφιον ε[ἰς] σποράν ἓν τρίτον.

Ἐκδίδωμι πρὸς σὲ τὸν δεῖνα τὰ χωράφιά μου τὰ διακείμενα ἐν τῇ τοποθεσίᾳ πλησίον τοῦ δεῖνος, ὡς ἂν κατέχῃς αὐτὰ ἐπὶ χρόνοις τόσοις ἀριθμουμένοις (2) ἀπ' ἀρχῆς τῆς παρούσης τόσης ἰνδίκτου καὶ ἐπὶ τοῖς ἔμπροσθεν καὶ κατασπείρῃς αὐτὰ ἀντισπορίαν ἐξ οἰκείου σπόρου σου, κατὰ δὲ τὸν καιρὸν τοῦ ἀλωτοῦ παρέχῃς πρὸς ἐμὲ καὶ τὸ μέρος μου ἀπὸ τῶν γεωργηθέντων γεννημάτων τὰ τρίτα, κἄν τε σῖτος εἴη ὁ γεωργηθείς, κἄν τε κριθή, κἄν τε ἄλλο τι τῶν γεωργουμένων, μὴ ἐπιγινώσκοντός μου ἐν πᾶσι τούτοις ἔξοδον τὴν οἱανοῦν, ἀλλὰ ἀκαινοτομήτως τὸ τοιοῦτον λαμβάνοντος γήμορον καθ' ὃν καιρὸν δηλαδὴ τὰ τοιαῦτα κατασπείρῃς χωράφια. Οὔτε οὖν ἐγὼ ἵνα ἔχω ἄδειαν ἀπὸ τοῦ νῦν τοῦ ἐκδιώκειν (3) σε ἀπὸ τῶν τοιούτων χωραφίων πρὸ τῆς συμπληρώσεως τῶν συμφωνηθέντων τόσων χρόνων, ἢ ἐπέκεινα τοῦ τρίτου καρποῦ ἄλλο τι χάριν γημόρου ἐπιζητεῖν, οὔτε σὺ τοῦ καταλιμπάνειν αὐτὰ ἔσωθεν τῶν τοιούτων χρόνων, ἢ πρὸς τὴν ἀπόδοσιν τοῦ πάκτου κακουργεῖν, ἢ ἐλάττωσιν τούτου ἐπιζητῆσαι, ἐπεὶ ἐάν τις ἡμῶν τῇ παρούσῃ ἐναντιωθῇ συμφωνίᾳ, ἵνα ζημιῆται πρὸς τὸ στέργον καὶ ἐμμένον μέρος χρυσᾶ ὑπέρπυρα τόσα, καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον.

---

14. Ἄκτος πακτωτικὸν εἰς κῆπον.

Ἐκδίδωμι πρὸς σὲ τὸν δεῖνα κηπουρὸν τὸν ὑπόποτον λαχανόκηπόν μου τὸν διακείμενον ἐν τῇ τοποθεσίᾳ τῇ δεῖνι πλη-

(1) χειρ. ἐνγγράφου. (2) χ. ἀριθμουμενάς.
(3) χ. ἐκδιώκει.

σίον τοῦ δεῖνος, μετὰ καὶ τοῦ ἐν αὐτῷ οἰκήματος καὶ τῶν ἔσωθεν τοῦ τοιούτου κήπου ὀπωροφόρων δένδρων ἁπάντων, χωρὶς μόνον τῶν συκαμίνων, ὡς ἂν κατέχῃς τοῦτον πακτωτικῶς ἐπὶ χρόνοις τόσοις ἀριθμουμένοις (1) ἀπ' ἀρχῆς τοῦ δεῖνος μηνὸς τῆς παρούσης τόσης ἰνδίκτου καὶ ἐπὶ τοῖς ἔμπροσθεν, καὶ ἐργάζῃ καὶ εἰσοδιάζῃς (2) τοῦτον ἀπερικόπως καὶ ἀπαρασαλεύτως μέχρι τῆς τόσων ἐνιαυτῶν ἐκπληρώσεως, παρέχων πρὸς ἐμὲ καὶ τὸ μέρος μου λόγῳ πάκτου τοῦ τοιούτου κήπου καθ' ἕκαστον χρόνον ὑπέρπυρα τόσα, ἃ καὶ ὀφείλεις διδόναι πρὸς ἐμὲ ἐπὶ δυσὶ τοῦ ἔτους καταβολαῖς, ἤτοι κατὰ συμπλήρωσιν ἑκάστου ἑξαμήνου χρυσᾶ ὑπέρπυρα τόσα, καὶ ἀφ' ὧν ἔχει ὁ κῆπος λαχάνων καθ' ἑκάστην ἑβδομάδα ὀψώνια δύο, κατὰ δὲ τὴν ἐκπλήρωσιν τῶν τόσων ἐνιαυτῶν παραδιδόναι τὸν τοιοῦτον κῆπον πρὸς ἐμέ, περιπεφραγμένον πανταχόθεν, βεβελτιωμένον τε καὶ μηδὲ μιᾶς δεόμενον περιποιήσεως· εἰ δὲ πάλιν θελήσεις σὺ κατέχειν αὐτὸν εἰς τὸ παρ' ἑτέρου διδόμενον πάκτον, ἵνα ᾖς αὐτὸς προτιμότερος. Οὔτε οὖν ἐγὼ ἵνα ἔχω ἄδειαν ἀπὸ τοῦ νῦν τοῦ ἐκδιώκειν σε τοῦ τοιούτου κήπου πρὸ τῆς συμπληρώσεως τῶν συμφωνηθέντων τόσων ἐνιαυτῶν, ἢ ἐπέκεινα τοῦ συμφωνηθέντος πάκτου τῶν τόσων ὑπερπύρων ἕτερόν τι ἀπὸ σοῦ ἐπιζητῆσαι, οὔτε σὺ τοῦ καταλιμπάνειν αὐτὸν ἐντὸς
φ.164. τῶν τόσων ἐνιαυτῶν, ἢ πρὸς τὴν ἀπόδοσιν | τοῦ πάκτου κακουργεῖν, ἢ τὸν καιρὸν ὑπερβιβάζειν, ἢ ἐλάττωσιν τούτου ἐπιζητεῖν ὁπωσδήποτε, ἀλλ' ἐμμενοῦμεν καὶ ἀμφότεροι ἐπὶ τοῖς συμφωνηθεῖσι μέσον ἡμῶν· εἰ δέ τις ἐξ ἡμῶν ἀμφοτέρων ἀναλογίαν (3) τρέψει, ἵνα ζημιῆται λόγῳ προστίμου πρὸς τὸ στέργον καὶ ἐμμένον μέρος χρυσᾶ ὑπέρπυρα τόσα, καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον.

(1) χειρ. ἀριθμουμένης. (2) χ. ἠσοδιάζεις.
(3) χειρ. ἀναλογείαν.

15. Ἄκτος πακτωτικοῦ λουετροῦ.

Τὴν παροῦσαν ἔγγραφον (1) καὶ ἐνυπόγραφον πακτωτικὴν συμφωνίαν τὴν μέχρι συμπληρώσεως τῶν τόσων ἐνιαυτῶν ἐνεργεῖν ὀφείλουσαν τίθημι καὶ ποιῶ ἑκουσίως, ἀφόβως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀμεταμελήτως, πρὸς σὲ τὸν δεῖνα καὶ τὸ μέρος σου καθὼς δηλωθήσεται· καὶ γὰρ προσελθών μοι ἐζήτησας τὸ δημόσιον λουτρὸν τόδε πακτωτικῶς, ἐγὼ δὲ συναρεσθεὶς μετὰ σοῦ διεξέδωκα πρὸς σὲ τὸ τοιοῦτον δημόσιον λουτρὸν καθώς ἐστιν ἐνεργοῦν μετὰ καὶ τῶν ἐν αὐτῷ δύο χαμογέων οἰκημάτων, ὡς ἂν κατέχῃς αὐτὸ πακτωτικῶς ἐπὶ χρόνοις τόσοις ἀριθμουμένοις ἀπ' ἀρχῆς τοῦ δεῖνος μηνὸς τῆς ἐνεστώσης ἰνδικτιῶνος καὶ ἐπὶ τοῖς ἔμπροσθεν, ἐκδουλεύων αὐτὸ (2) καὶ εἰσοδιάζων πᾶσαν τὴν ἐκ τούτου ἐπιγινομένην πρόσοδον ὅση δ' ἂν εἴη, καὶ παρέχων πρὸς ἐμὲ καὶ τὸ μέρος μου λόγῳ πάκτου αὐτοῦ (3) ὑπὲρ ἑνὸς ἑκάστου ἐνιαυτοῦ χρυσᾶ ὑπέρπυρα τόσα, ἃ καὶ ὀφείλεις διδόναι πρὸς ἡμᾶς ἐπὶ τρισὶ τοῦ ἔτους καταβολαῖς, ἤτοι κατὰ συμπλήρωσιν ἑκάστου τετραμήνου ὑπέρπυρα τόσα, ποιεῖν δὲ τὴν τούτων καταβολὴν οὐχ ὑπερήμερον, οὐκ ἀναβεβλημένην, οὐ μετὰ γογγυσμοῦ, ἀλλὰ μετὰ πάσης εὐχαριστίας καὶ ἁπλότητος ἅμα τῇ παραρροῇ ἑκάστου τετραμήνου, ὡς εἴρηται, καὶ λαμβάνειν ἀπόδειξιν. Τὰς μέντοι λεπτὰς περιποιήσεις ἁπάσας τοῦ τε λουτροῦ καὶ τῶν ἐν αὐτῷ δύο χαμογέων ὀσπητίων σὺ ὀφείλεις περιποιεῖσθαι ἐξ οἰκείων ἐξόδων σου, εἰ δὲ μέγα συμβῇ σύμπτωμα, ἢ τὸ χάλκωμα δεηθῇ περιποιήσεως, ἐγὼ ὀφείλω περιποιεῖσθαι τοῦτο, ἀζημίου σοῦ διαμένοντος· εἰ δὲ ἐξ ἐθνικῆς ἐφόδου, ἢ ἄλλης τινὸς ἀναγκαίας

(1) χειρ. ἔγγαφον. (2) χ. αὐτῷ. (3) αὐτοῦ αὐτοῦ.

αἰτίας ἀργῆσαι τὸ λουτρόν, ἵνα δέχωμαι τὰς ἡμέρας τῆς ἀργίας, μὴ ἐνεχομένου σου ἕνεκεν τούτου εἰς πάκτον τὸ σύνολον. Ἀπὸ γοῦν τῆς σήμερον, οὔτε ἡμεῖς ἵνα ἔχωμεν ἄδειαν τοῦ ἐκδιώκειν σε ἀπὸ τοῦ λουτροῦ ἡμῶν πρὸ τῆς συμπληρώσεως τῶν τόσων ἐνιαυτῶν, ἢ αὔξησιν τοῦ πάκτου τῶν τόσων χρυσῶν ὑπερπύρων ἀπὸ σοῦ ἐπιζητῆσαι, οὔτε σὺ τοῦ καταλιμπάνειν τὸ τοιοῦτον λουτρὸν ἔσωθεν τῶν τόσων χρόνων, ἢ πρὸς τὴν ἀπόδοσιν τοῦ πάκτου κακουργεῖν, ἢ ἐλάττωσιν γενέσθαι τούτου ἐπιζητεῖν, ἀλλ' ἐμμενοῦμεν καὶ ἀμφότερα τὰ μέρη ἐπὶ τοῖς συμφωνηθεῖσι μέσον ἡμῶν. Τοὺς μέντοι οἰκειακοὺς ἅπαντας ὀφείλεις λούειν χωρὶς δόσεως βαλανικοῦ. Λοιπὸν καὶ εἴ τις ἐκ τῶν δύο μερῶν πρὸς ἀναλογίαν τρέψει, ἵνα ζημιῆται πρὸς τὸ στέργον μέρος καὶ ἐμμένον χρυσᾶ ὑπέρπυρα τόσα, καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον.

---

16. Ἄκτος ὁμολογίας ἐν ὑποθήκῃ.

Τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυποδανειακὴν ὁμολογίαν καὶ ἀσφάλειαν μετὰ καὶ τῆς ὑποθήκης τίθημι καὶ ποιῶ ἑκουσίως, ἀφόβως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀμεταμελήτως, πρὸς σὲ τὸν δεῖνα καὶ ὅλον τὸ μέρος σου, καθὼς δηλωθήσεται· καὶ γὰρ ἔλαβον ἀπὸ σοῦ κυροῦ τοῦ δεῖνος λόγῳ δάνους καὶ χωρὶς ἀντιδόσεως οἱωνδήτινων κινητῶν ἐνεχύρων ὑπέρπυρα τόσα, καὶ ὁ περὶ ἀναργυρίας λόγος χώραν ἐνταῦθα οὐχ ἕξει, ὅτι πραγματικῶς ἠριθμήθησαν καὶ κατεβλήθησαν ἀπὸ τῶν σῶν χειρῶν εἰς τὰς χεῖράς μου τὰ τοιαῦτα τόσα ὑπέρπυρα τρικέφαλα· καὶ ταῦτα λαβὼν ἐγὼ κατὰ τὴν σήμερον χειροδότως ἅμα καὶ μετρητῶς, ὁμολογῶ καὶ ἀσφαλίζομαι καὶ συμφωνῶ διὰ τοῦ παρόντος χρεωστικοῦ ὁμολόγου μου τοῦ ἀποφλῆσαί σοι κατὰ τὸν σεπτέμβριον μῆνα τῆς μελλούσης εἰσιέναι τόσης ἰνδίκτου ἑτοί-

μως, εὐγνωμόνως (1), ἀπικράντως, ἀλογοπραγήτως, ἀνυπερθέτως, ἀνακρωτηριάστως, καὶ διὰ μιᾶς καταβολῆς διὰ σίτου καὶ οἴνου μούστου συναλλακτικῶς καθὼς φθάσει ἡ ἡμέρα ἔχειν, μὴ προβαλλόμενος οἱανδήτινα αἰτίαν ἀφορίας τυχὸν ἢ ἀστοχίας, ἢ οἰκιακῆς τινος περιπετείας, καὶ διὰ ταῦτα εἰς ὑπερθέσεις καὶ ὑπερβιβασμοὺς χωρῶν τῆς ἀποφλήσεως τῶν νομισμάτων σου, ἢ τὴν ἐκ νόμου τετράμηνον ἀνακαλούμενος, ἀλλὰ χωρὶς λόγου καὶ ἀμφιβολίας τινὸς καθυπισχνοῦμαι ἀποφλῆσαί σοι τὰ κεχρεωστημένα σοι παρ' ἐμοῦ τόσα χρυσᾶ ὑπέρπυρα διὰ σίτου καὶ οἴνου μούστου συναλλακτικῶς, ὡς δεδήλωται δι' ὅλου τοῦ σεπτεμβρίου μηνὸς τῆς μελλούσης εἰσιέναι τόσης ἰνδίκτου καθὼς ἡ ἡμέρα ἔχει, καὶ λαβεῖν παρὰ σοῦ τὸ παρόν μου ὁμόλογον, ἢ ἀπόδειξιν ἐπ' ἀθωώσει μου· κρατουμένου γὰρ παρὰ σοῦ τοῦ παρόντος ὁμολόγου μου, ἐὰν χωρὶς ἀποδείξεως εἴπω δεδωκέναι σοί τι ἀπὸ τῶν τοιούτων χρυσῶν ὑπερπύρων, οὐκ εἰσακουσθήσομαι, κἂν κατὰ νόμους συστῆσαι τοῦτο πειρῶμαι· διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν χρεωστικόν μου ὁμόλογον πρὸς σὲ πεποίηκα, δι' οὗ καὶ παρὰ σοῦ ἐπερωτώμενος, ὁμολογῶ καὶ ἀσφαλίζομαι ·ὡς, ἐὰν πρὸς τὴν ἀπόδοσιν τῶν ὧν ἔλαβον ἀπὸ σοῦ χρυσῶν ὑπερπύρων τρικεφάλων κακουργήσω, ἢ καιρὸν ὑ|περβι- φ. 165 βάσω, ἢ τὴν ἐκ νόμου ἐπιζητήσω τετράμηνον, ἢ καὶ ἀναργυρίαν ὧν ἔλαβον ἀπὸ σοῦ τόσων χρυσῶν ὑπερπύρων προσθήσω μερικὴν ἢ ὁλόκληρον, ἢ πρὸς τὰς ἀνωτέρω δηλουμένας συμφωνίας καὶ διαστίξεις ἀμφιβάλλω, ἢ κατὰ ἄλλον τινὰ λόγον τὴν ἐναντίαν βαδίσω τοῦ παρόντος ἐγγράφου μου, πρὸς τῷ μὴ εἰσακούεσθαι, ἵνα ζημιοῦμαι πρὸς σὲ καὶ τὸ μέρος σου χρυσᾶ ὑπέρπυρα τόσα, καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον.

(1) χειρ. εὐγνειωμόνως.

17. Ἄκτος ἀποδείξεως ἱερέων χάριν τῆς δοχῆς τῶν τελεσμάτων αὐτῶν.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἡμεῖς ἱερεῖς χωρίου τοῦ δεῖνος τοῦ ὑπὸ τὸ καπετανίκιον τόδε κῦρ τοῦδε, οἱ καὶ τοῦ ψυχικοῦ ἐπαπολαύοντες τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὧν αἱ κλήσεις καὶ αἱ προσηγορίαι διὰ τῶν ἄνωθεν τοῦ παρόντος ὕφους οἰκειοχείρων ἡμῶν προταγῶν δηλοῦνται, ἅπαντες ὁμοθυμαδὸν κοινῇ τῇ γνώμῃ καὶ τῇ θελήσει καὶ ἀρεσκείᾳ τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπόδειξιν καὶ ὁμολογίαν τῶν ἐαθέντων ἡμῖν ψυχικῶν τοῦ κοσμοποθήτου καὶ θεοφρουρήτου ἁγίου ἡμῶν αὐτοκράτορος τελεσμάτων ἡμῶν ὑπὲρ τῆς νῦν τρεχούσης τόσης ἰνδίκτου τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, ἀφόβως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀμεταμελήτως, πρὸς σὲ τὸν μεγαλοδοξότατον πράκτορα ἡμῶν κῦρ τὸν δεῖνα, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ ἅπαν μέρος τοῦ δημοσίου, καθὼς δηλωθήσεται· καὶ γὰρ τὴν συλλογὴν ποιουμένου σου τοῦ δημοσιακοῦ ἀκροστίχου τοῦ κατεπανικίου τοῦ δεῖνος προσήλθομέν σοι ἡμεῖς οἱ ἀνωτέρω δηλούμενοι ἱερεῖς καὶ εὐχέται τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, καὶ ἐνεφανίσαμεν τὸ παρεμβληθὲν ἴσον τοῦ θείου καὶ προσκυνητοῦ βασιλικοῦ χρυσοβούλλου προστάγματος ἐπὶ συμπαθείᾳ τῶν ἱερέων, καὶ τὴν μετὰ ταῦτα γενομένην εἰς ἡμᾶς τοὺς ἱερεῖς ἀποκατάστασιν παρὰ τοῦ πανσεβάστου δουκὸς τοῦ δεῖνος κῦρ τοῦδε τὴν διακελεύουσαν τὰ συμπαθούμενα ἡμῖν ἐτησίως τόσα ὑπέρπυρα παρὰ τῶν κατὰ καιροὺς ἐνεργούντων ἐνταῦθα πρακτόρων· σὺ δὲ κατὰ τὰς περιλήψεις καὶ διαστίξεις τούτων εἴασας ἡμῖν ψυχικὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τὰ συμπαθούμενα ἑνὶ ἑκάστων ἡμῶν ὑπέρπυρα τόσα ὑπὲρ τῆς ἐνεστώσης ἰνδίκτου ὡς εἴρηται, τὰ

καὶ ποσούμενα εἰς ὑπέρπυρα τρικέφαλα προτιμώμενα τόσα κατὰ περίληψιν τῆς ἀπογραφῆς ἡμῶν· καὶ τούτων ἐκθέντων ἡμῖν τοῖς ἱερεῦσι παρὰ σοῦ τοῦ παρὰ τοῦ δουκὸς ἀνατεθειμένου πράκτορος ἡμῶν ψυχικὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ὑπὲρ τῆςδε ἰνδίκτου, τὴν παροῦσαν ἡμεῖς ἀπόδειξιν καὶ ὁμολογί[α]ν τῆς συμπαθείας αὐτῶν πρὸς σὲ καὶ τὸ μέρος τοῦ δημοσίου πεποιήκαμεν, τοῦ ὕφους γραφέντος ἐξ ἐντολῆς ἡμετέρας διὰ χειρὸς νομικοῦ τοῦ δεῖνος, ἐνώπιον τῶν μαρτύρων, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆςδε.

---

18. [Ἄκτος] υἱοθετικοῦ. Ὅταν οἱ γονεῖς ἄτεκνοι.

Τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον υἱοθετικὴν συμφωνίαν καὶ ἀσφάλειαν, τὴν παρὰ μηδενὸς μὲν τῶν ἁπάντων ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι ὀφείλουσαν, ἀλλ' ἐς ἀεὶ τὸ πάγιον καὶ ἐνεργὸν καὶ μόνιμον, ἀπαράθραυστόν τε καὶ ἀπερικλόνητον ἔχουσαν, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, ἀφόβως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀμεταμελήτως καὶ οὐκ ἀσκέπτως, οὐδ' ἀδοκιμάστως, οὐδ' ἐκ συναρπαγῆς τινος, ἢ ἀπάτης, ἢ δελεασμοῦ, ἢ νόμου καὶ φάκτου ἀγνοίας, ἢ ἄλλης τινὸς ἐπιψόγου καὶ τοῖς θείοις νόμοις ἀπηγορευμένης αἰτίας, ἀλλ' ἑκουσίᾳ ἡμῶν τῇ γνώμῃ καὶ αὐτοπροαιρέτῳ βουλῇ, μετὰ μεγίστης ἡμῶν τῆς ἀποδοχῆς καὶ θελήσεως, χρονίας τε διασκέψεως καὶ μεμεριμνημένου σκοποῦ, πρὸς σὲ τὸν ἀπὸ τῆς σήμερον θεοῦ βουλήσει πνευματικὸν ἡμῶν υἱὸν τὸν δεῖνα· καὶ γὰρ ἐπειδὴ ἐξ ἡμετέρας ὀσφύος οὐκ ἠξιώθημεν παίδων κληθῆναι πατέρες, δέον εἶναι ᾠήθημεν παιδίον ἐφευρεῖν καὶ ἐν Χριστῷ υἱοθετήσασθαι τοῦτο, καὶ ἐν ταῖς ἡμετέραις ἀναθρέψαι ἀγκάλαις, καὶ κληρονόμον τοῦτο πάντων τῶν ἡμετέρων ἐνστήσασθαι, ὡς ἂν καὶ τὸ μνημόσυνον ἡμῶν διαμένῃ καὶ μὴ γένωνται μετὰ τὴν ἡμῶν

τελευτὴν ἔρεις καὶ μάχαι ἐν τοῖς ἡμετέροις πράγμασιν· ὅθεν καὶ εὑρηκότες σὲ τὸν πνευματικὸν υἱὸν ἡμῶν τόνδε, καὶ ἐπὶ τῶν ἀγκαλῶν ἡμῶν βαστάσαντες καὶ ἐν τῇ οἰκίᾳ ἡμῶν εἰσαγαγόντες υἱοθετήσαμέν σε ἐν ἁγίῳ πνεύματι καὶ εἰς γνησίου καὶ σαρκικοῦ ἡμῶν τόπον ἀποκατεστήσαμεν· ἐπεὶ δὲ οὐκ εἰσὶ τὰ σαρκικὰ ὡς εἰσὶ τὰ πνευματικά, κατὰ τὰ λόγια, ἀπὸ γοῦν τῆς σήμερον ἔνστατόν σε κληρονόμον τῶν ἡμετέρων πάντων ποιούμεθα, καὶ διάδοχον τοῦ γένους ἡμῶν καὶ γνήσιον υἱὸν ὀνομάζομεν· καὶ εἴ τε φθάσομεν γυναικί σε νομίμῳ συζεῦξαι καὶ γαμήλιον ἐκθεῖναί σοι σύμφωνον, εἴ τε καὶ μή, οὐχ ἕξει τις ἄδειαν ἀπὸ τῆς κληρονομίας ἡμῶν μετακινῆσαί σε, ἢ ὡς λιγατάριον ἐν μέρει τῆς οὐσίας ἡμῶν περιορίσαι, κἂν καὶ οὕτως οὐ
φ.166. φθάσομεν τὴν | διαθήκην (1) ἡμῶν τὴν τοιαύτην ἐπικυρῶσαι υἱοθεσίαν· τὸ γὰρ παρὸν ἡμῶν ἔγγραφον ἀρκέσει σοι τότε καὶ ἀντὶ διαθήκης καὶ ἀντὶ ἑτέρου ἐγγράφου οἱουδήτινος, δι' οὗ καὶ ἀποκλείομεν καὶ ἀποπαύομεν ἅπαν πρόσωπον συγγενικὸν ἡμῶν καὶ ἀλλότριον τοῦ μηδαμῶς ποτε ἐπιφύεσθαί σοι καὶ ὀχλήσεις σοι ἐπάγειν ἐν οἱῳδήποτε (2) χρόνῳ, καθ' οἱονδήτινα τρόπον περὶ τῆς τοιαύτης περιουσίας ἡμῶν ἢ μερικῶς παρασαλεύειν, ἢ κατὰ ἄλλον τινὰ λόγον ἐναντιοῦσθαί σοι περὶ τῆς κληρονομίας ἡμῶν, ὡς ἂν ἀδιασείστως καὶ ἀνενοχλήτως ὡς υἱὸς ἡμῶν φίλτατός τε καὶ γνήσιος καὶ κληρονόμος ἔνστατος τῆς περιουσίας ἡμῶν πάντα κληρονομήσῃς μετὰ ἀδείας τὰ εὑρεθησόμενα ἡμῖν ἐν τῷ καιρῷ τῆς ἡμῶν τελευτῆς, κινητὰ καὶ ἀκίνητα πράγματα, καὶ παραπέμπῃς πάλιν αὐτὸς ταῦτα μετ' ἐξουσίας καὶ αὐθεντίας πολλῆς πρὸς τοὺς κληρονόμους καὶ διακατόχους σου μὴ παρ' οὐδενὸς κωλυόμενος. Πᾶσα μὲν οὖν ἔγγραφος συμφωνία παρ' ἡμῶν γενομένη, ἢ καὶ γενησομένη ἴσως εἰς τὸ μετέπειτα, καὶ ἐναντιουμένη κατά τι τῇ παρούσῃ ἡμῶν υἱοθεσίᾳ

(1) γραπτέον, ἐν τῇ διαθήκῃ. (2) γ. οἱδήποτε.

ἀπρακτήσει τὸ παράπαν καὶ ὡς μὴ γεγονυῖα λογισθήσεται. Λοιπὸν καὶ ἀσφαλιζόμεθα ὡς, ἐὰν ποτὲ καιρῷ ἢ χρόνῳ πειραθῶμεν ἐναντιωθῆναι τῷ παρόντι (1) υἱοθετικῷ ἐγγράφῳ ἡμῶν, καὶ ἰῶτα ἓν ἢ μίαν κεραίαν (2) ἐξ αὐτοῦ ἀνατρέψαι τολμήσομεν, τὸ παρὸν ἡμῶν ἔγγραφον ἀρραγὲς διαμείνῃ καὶ τοῖς νόμοις εὐπρόσδεκτον, ἡμεῖς δὲ ἀπὸ μόνης ψιλῆς ἀνατρεπτικῆς ἐπιχειρήσεως κατακριθησόμεθα ὑπὸ τοῦ θεοῦ καὶ μετὰ τῶν ἀρνητῶν τοῦ Χριστοῦ ταχθησόμεθα ὡς ἀρνηταὶ τῶν ἰδιοχείρων (3) ἡμῶν, κληρονομήσομεν δὲ καὶ τὰς ἀρὰς τῶν τιη' ἁγίων θεοφόρων πατέρων ἡμῶν καὶ τὴν τοῦ προδότου Ἰούδα μερίδα, ζημιωθησόμεθα δὲ καὶ πρὸς σὲ λόγῳ προστίμου χρυσᾶ ὑπέρπυρα τόσα καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον, πρὸς τῷ καὶ οὕτως ἐρρῶσθαι τὸ παρὸν τῆς υἱοθεσίας ἡμῶν ἔγγραφον, τὸ καὶ γραφὲν ἐξ ἐντολῆς ἡμετέρας διὰ χειρὸς νομικοῦ τοῦδε, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆσδε.

19. Πρὸς τοὺς ἔχοντας γνήσια τέκνα.

Καὶ γὰρ ἐπειδὴ ἐφθάσαμεν ἀναλαβέσθαι βρέφος ἔτι κομιδῆ τυγχάνοντα ἐξ αὐτῶν τῶν σπαργάνων καὶ ἀναθρέψαι σε φιλοστόργως ἐν ταῖς ἡμετέραις ἀγκάλαις μετὰ τῶν γνησίων ἡμῶν παίδων, ἠθελήσαμεν καὶ υἱοθετήσαμέν σε ἐν ἁγίῳ πνεύματι καὶ μετὰ τῶν γνησίων καὶ σαρκικῶν ἡμῶν τέκνων συνηριθμήσαμεν· ἐπεὶ οὐκ εἰσὶ τὰ σαρκικὰ ὡς εἰσὶ τὰ πνευματικά, κατὰ τὰ λόγια, τῷ τοι καὶ ἀπὸ τῆς σήμερον συναριθμοῦμεν καὶ σὲ τοῖς ἑτέροις παισὶν ἡμῶν καὶ τῆς τῶν γνησίων ὀνομασίας ἀξιοῦμεν εἰς τὸ εἶναι καὶ σὲ ἕνα τῶν ἐνστάτων κληρονόμων καὶ διαδόχων τοῦ γένους ἡμῶν, καὶ λαμβάνειν ἐν τῷ καιρῷ τοῦ μερισμοῦ τῶν κινητῶν, ἀκινήτων καὶ αὐτοκινήτων ἡμῶν τὴν ἀνή-

(1) χειρ. παρότι. (2) χ. καιραίαν, ἐν δὲ τῷ περιθωρίῳ καλῶς διορθοῦται κεραίαν. (3) χ. ἰδιοχειρῶν.

κουσάν σοι ἰσομοιρίαν, ὡς καὶ οἱ λοιποὶ ἡμῶν παῖδες, ἀκαινοτομήτως, κἄν τε φθάσωμεν γυναικί σε νομίμῳ συζεῦξαι καὶ γαμήλια ἐκθεῖναί σοι σύμφωνα, κἄν τε καὶ μή· διὸ καὶ οὐχ ἕξει τις ἄδειαν ἀπὸ τῶν ἑτέρων παίδων ἡμῶν, ἢ ἀπὸ τῶν συγγενῶν ἡμῶν, ἢ καὶ ἀλλοτρίων, μετακινῆσαί σε ἀπὸ τῆς τοιαύτης ἰσομοιρίας, ἢ ὡς λιγατάριον ἐν μέρει τινὶ τῆς οὐσίας ἡμῶν περιορίσαι σε, ἀλλὰ σὺν τοῖς ἑτέροις παισὶν ἡμῶν κληρονόμος καὶ αὐτὸς τῆς οὐσίας ἡμῶν ἔσῃ καὶ τὴν ἀνήκουσάν μοι (1) μερίδα ἀμετακινήτως κληρονομήσεις, κἂν καὶ ἴσως οὐ φθάσωμεν ἐν διαθήκῃ ἡμῶν τὴν τοιαύτην ἐπικυρῶσαι υἱοθεσίαν, τὸ γὰρ παρὸν ἡμῶν ἔγγραφον ἀρκέσει τότε ἀντὶ διαθήκης καὶ ἀντὶ ἑτέρου ἐγγράφου οἱουδήτινος, δι' οὗ καὶ ἀποκλείομεν καὶ ἀποπαύομεν ἅπαν πρόσωπον συγγενικὸν ἡμῶν καὶ ἀλλότριον τοῦ μηδαμῶς ποτε ἐπιφύεσθαί σοι καὶ ὀχλήσεις σοι ἐπάγειν ὁπωςδήποτε περὶ τῆς τοιαύτης υἱοθεσίας, καὶ ἢ καθόλου ἀποδιώκειν σε ἀπὸ τῆς ἀνηκούσης σοι ἀδελφικῆς μερίδος, ἢ μερικῶς παρασαλεύειν, ἢ κατὰ ἄλλον τινὰ λόγον ἐναντιοῦσθαί σοι περὶ τῆς υἱοθεσίας ἡμῶν, ὡς ἂν ἀδιασείστως καὶ ἀπαρενοχλήτως ὡς υἱὸς ἡμῶν φίλτατός τε καὶ γνήσιος καὶ κληρονόμος ἔνστατος ὁμοίως τοῖς ἑτέροις παισὶν ἡμῶν τὴν διαφέρουσάν σοι μερίδα κληρονομήσας παραπέμπῃς πάλιν αὐτὴν μετ' ἐξουσίας καὶ αὐθεντίας πολλῆς πρὸς τοὺς κληρονόμους καὶ διαδόχους σου καὶ τοὺς παντοίους διακατόχους σου, μὴ παρ' οὐδενὸς κωλυόμενος. Τὸ ἐπίλοιπον γράφε ἀπὸ τοῦ ὄπισθεν ἄκτους.

---

20. Ἄκτος συμβιβάσεως ἀδελφῶν ἤτοι διαιρέσεως ἀκινήτων.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἡμεῖς οἱ γνήσιοι αὐτάδελφοι καὶ παῖδες τοῦ ἀποιχομέ-

(1) γραπτέον, σοι.

νου ἐκείνου τοῦ δεῖνος, οἱ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως προτάξαντες, τὴν παροῦσαν ἔγγραφον συμβιβαστικὴν διαίρεσιν τῶν | γονικῶν ἡμῶν ἀκινήτων τιθέμεθα καὶ ποιοῦ- φ.167. μεν πρὸς ἡμᾶς ἑαυτοὺς καὶ πρὸς τὸ ἕκαστον ἡμῶν μέρος ἕκαστος, καθὼς δηλωθήσεται· καὶ γὰρ ἐπικοίνως δεσπόζοντες καὶ νεμόμενοι μέχρι τοῦ νῦν τὰ ἐκ γονικῆς κληρονομικῆς διαφέρον[τα] ἡμῖν ἀκίνητα πράγματα, τὰ νῦν ἠθελήσαμεν διαμερίσαι ταῦτα καὶ ἐπιγνῶναι ἕκαστον ἡμῶν ἐκ τούτων τὸ ἴδιον· ὅθεν καὶ διαμερισάμενοι ταῦτα, μίαν μὲν μερίδα πεποιήκαμεν τόδε καὶ τόδε, ἥντινα μερίδα ἀνελαβόμην κατὰ πρώτην ἐπιλογὴν ἐγὼ ὁ δεῖνα, ἑτέραν δὲ μερίδα πεποιήκαμεν τόδε καὶ τόδε, ἥτις μερὶς ἐναπέμεινεν εἰς ἐμὲ τὸν δεῖνα. Οὕτως οὖν μερίσαντες, καὶ τὴν ἰδίαν ἐπεγνωκότες μερίδα, ὀφείλομεν ἀπὸ τοῦ νῦν ἐμμένειν τῷ παρόντι διαμερισμῷ, καὶ μὴ ἐπιζητεῖν ἕτερον. Εἰ δέ τι εὑρεθῇ ὕστερον ἀκίνητον ἐναπολειφθὲν ἔξω τοῦ παρόντος διαμερισμοῦ, μερισθήσεται καὶ αὐτὸ παρ' ἡμῶν ἐξίσου. Εἰ δ' ἴσως ἀπὸ τῶν μερισθέντων ἀκινήτων ἐκνεικηθῇ (1) τι παρά τινος καὶ καινοτομηθῇ μία μερὶς ἀφ' ἡμῶν, ἡμεῖς οἱ πάντες ὀφείλομεν διανίστασθαι, καὶ ἢ ἀποπαύειν τὸ ἐκνεικοῦν (2) πρόσωπον, ἢ ποιεῖν τὴν ἱκάνωσιν τῆς καινοτομηθείσης μερίδος ἀπὸ τῶν ἑτέρων μερίδων. Τὰ μέντοι τέλη καὶ τὰ λοιπὰ ἐξώτυπα ζητήματα ἡμῶν ἐξίσου ὀφείλομεν τελεῖν, ὡσαύτως καὶ τὰς ἐπερχομένας δημοσιακὰς ἐπηρείας ἐξίσου γινώσκειν, καὶ ἄλλο εἴ τι ἀναφυῇ ζήτημα. Εἰ δέ τις ἀφ' ἡμῶν τῶν ἀδελφῶν πάντων πρὸς τὸν παρόντα διαμερισμὸν ἀμφιβάλλει, καὶ ἕτερον ἐπιζητήσει, ἢ ἀφ' ἑτέρας μερίδος ἰδιοποιήσεταί τι, ἢ ἄλλως πως ὄχλησιν τοῖς ἑτέροις ἐπενεγκεῖν πειραθῇ, ἵνα ζημιῆται πρὸς τὰ στέργοντα καὶ ἐμμένοντα μέρη χρυσᾶ ὑπέρπυρα τόσα, καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον.

(1) χειρ. ἐκγικηθῇ. (2) χ. ἐκνικοῦν.

21. Ἄκτος συμβιβάσεως ἀπὸ δικαστηρίου, ἤτοι διαλύσεως.

Τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον συμβίβασιν τῆς δηλωθησομένης ὑποθέσεως, ἔτι δὲ καὶ ἀσφάλειαν καὶ εἰς τὸ μέλλον ἀμεριμνίαν καὶ διηνεκῆ ἀφροντισίαν, τίθημι καὶ ποιῶ ἑκουσίως, ἀφόβως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀμεταμελήτως, πάσης ἐκτὸς περινοίας καὶ δόλου καὶ λοιπῶν αἰτιῶν τῶν τοῖς νόμοις ἀπηγορευμένων πρὸς σὲ τὸν δεῖνα καὶ τὸ μέρος σου ἅπαν ἐπὶ ὑποθέσει τοιαύτῃ καθὼς δηλωθήσεται· καὶ γὰρ ἔφθασεν (1) ἐναγαγεῖν κατὰ σοῦ εἰς τὸ δικαστήριον τοῦ πράκτορος τοῦ δεῖνος λέγω[ν] τάδε καὶ τάδε κατὰ σοῦ, καὶ πολλῶν λόγων μέσον ἡμῶν κινηθέντων, τὰ νῦν εἰς εἰρηνικὰς συμβιβάσεις ἑκάτερα τὰ μέρη κατηντήσαμεν, ἀπό τινων ἀγαθῶν καὶ εἰρηνοποιῶν ἀνδρῶν εἰς τοῦτο καθυπαχθέντες, ὥστε λαβεῖν ἐγὼ ἀπὸ σοῦ κατὰ τελείαν διάλυσιν τάδε καὶ τάδε. Ὅθεν καὶ τὰς ἀλληλομαχίας καὶ τὰ δικαστήρια καταλείψαντες, διαλυόμεθα μετ' ἀλλήλων καθαρὰν καὶ περιεκτικὴν διάλυσιν οὐ μόνον περὶ τῆς τοιαύτης ὑποθέσεως καὶ τοῦ κεφαλαίου, ἀλλὰ καὶ περὶ πάσης καὶ παντοίας ὑποθέσεως ἐπ' αὐτῇ φύεσθαι μελλούσης, λαληθείσης ἢ παρασιωπηθείσης, εἰς δικαστήριον κατενεχθείσης ἢ μὴ προκάταρξιν δεξαμένης, ἢ περικοπήν, ἢ καὶ πάντα ἀγνοουμένης· συνήρεσε γὰρ ἡμῖν καὶ περὶ ὧν οὐκ ἐνεθυμήθημεν, οὐδὲ ἰδικῶς ἐνταῦθα ἐμνημονεύσαμεν διαλυθῆναι, κἂν ὁ νόμος ἐπ' ἐκείναις διαλύεσθαι ταῖς ὑποθέσεσι παρακελεύεται ταῖς φανερῶς ἐκπεφωνημέναις, οὐ μὴν δὲ καὶ ἐπὶ ταῖς μὴ ἐκφωνηθείσαις· ἀλλ' ἡμεῖς ἑκουσίως τοῦ τοιούτου καταφρονοῦντες, ἐφ' ἅπασιν ἁπαξαπλῶς διαλυόμεθα τέλεον, καὶ οὐκ ὀφείλομεν ἀπὸ τοῦ νῦν ἀλλήλοις ἐπιφύεσθαι καὶ εἰς δικαστήρια καὶ ὀχλή-

(1) γραπτέον, ἔφθασα.

σεις καθέλκειν τὸν ἕτερον ἕτερος, καὶ ἢ ἔγκλητον, ἢ ἔφεσιν μετὰ τὴν διάλυσιν ἀνακαλεῖσθαι, ἀλλ᾽ οὐδὲ περιγραφὴν ἀντεισάγειν, ἢ ἀντεναγωγήν, ἢ ἄλλο τι νόμιμον κεφάλαιον εἰς ἀνατροπὴν ἀποβλέπον τῆς παρούσης ἡμῶν διαλύσεως, ἀλλ᾽ ἅπαξ καθαρῶς διαλυθέντες συντηρεῖν ὀφείλομεν ἀλλήλους καὶ ἀνενόχλητοι ἀπ᾽ ἀλλήλων διαφυλάττεσθαι. Λοιπὸν καὶ παρὰ σοῦ ἐπερωτώμενος ὁμολογῶ καὶ ἀσφαλίζομαι ὡς, ἐὰν πρὸς ἀνατροπὴν τῆς παρούσης ἡμῶν ἐγγράφου καὶ ἐνυπογράφου συμβιβάσεως ἀμφιβάλλω καὶ ὄχλησίν σοι τὴν οἱανοῦν ἐπενεγκεῖν ἐπιχειρήσω καὶ εἰς δικαστήρια πάλιν καὶ ὀχλήσεις καὶ κρίσεις καθελκῦσαί σε, ἢ ἐπέκεινα τῆς γενομένης ἡμῶν συμβιβάσεως ἕτερόν τι ἀπὸ σοῦ ἐπιζητήσω, ἢ κατὰ ἄλλον τινὰ τὴν ἐναντίαν βαδίσω τοῦ παρόντος ἐγγράφου, πρὸς τὸ μὴ εἰσακούεσθαι, καὶ ἄπρακτος ἀπὸ παντὸς προσώπου καὶ δικαστηρίου ἀποπέμπεσθαι, κἂν πάντα δοκῶσιν εὔλογα εἶναι τὰ ὑπ᾽ ἐμοῦ λεγόμενα καὶ νόμοις ἴσως δεκτὰ καὶ ἀκριβείας ἐχόμενα, ζημιωθήσομαι πρὸς σὲ λόγῳ προστίμου, χρυσᾶ | ὑπέρπυρα τόσα καὶ φ.168 πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον.

---

22. Ἄκτος διατάξεως.

Καὶ πᾶσι μὲν τοῖς ἐπιζῶσι καὶ τὸν τῇδε βίον βιοῦσιν ἀναγκαῖον ὁμοῦ καὶ ὠφέλιμον τὸ διὰ μνήμης διηνεκοῦς τὴν ἄδηλον τοῦ θανάτου φέρειν τομὴν καὶ προμελετᾷν ἕκαστον καλῶς τὰ ἑαυτοῦ προδιατίθεσθαι, καὶ μιμνήσκοντα ἔσχατά σου καὶ οὐχ ἁμαρτήσεις, ἡ θεία λέγει Γραφή· τοῦτο οὖν ἐννοήσας κἀγὼ ὁ δεῖνα, ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον ἀναλογισάμενος, φόβον ἐφοβήθην δίκαιόν τε ὁμοῦ καὶ ὠφέλιμον, καὶ ἀπὸ πολλῶν τρόπων κεκτημένος τὸ εὔλογον, εἶτα πρὸς τὰς τῶν πραγμάτων τοῦ βίου τούτου μεταβολὰς

καὶ ἀλλοιώσεις ἀπιδών, καὶ πρὸς τὸ εὔφθαρτον καὶ ὠκύμορον (1) τῆς πολυωδύνου ταύτης ζωῆς ἡμῶν ἀποβλέψας, δειλίᾳ συνεσχέθην καὶ δέος οὐ τὸ τυχὸν ἐπεισῆλθέ μοι μήπως, οἷα πολλάκις ἐπισυμβαίνει τῷ ταλαιπώρῳ ἡμῶν βίῳ, αἰφνιδίως ἐπελθοῦσα ἡ τοῦ θανάτου τομὴ ἐκκόψῃ με ριζόθεν ὥς περ ἄκαρπον δένδρον καὶ πρὸς τὰ ἐκεῖθεν διαβιβάσῃ δικαιωτήρια, δέον εἶναι ᾠήθην ἐν ὅσῳ (2) τοίνυν ἐρρωμένον τὸν νοῦν καὶ τὰς φρένας ὑγιεῖς θεοῦ χάριτι κέκτημαι, περὶ τῶν κατ' ἐμὲ διατάξασθαι· καὶ γὰρ διατίθημι οὕτως.

---

23. [Ἄκτος εἰς] διάταξιν ἡγουμένου.

Τὸ ταῖς διαθηκῴαις τηρεῖν ἀκριβεί[αις] τοῖς τοῖς βιωτικοῖς ἐνειλημμένοις πράγμασιν ἐφίκεται, τοῖς δὲ ἀρχιερεῦσι καὶ μονάζουσιν ὡς τῷ θεῷ ὅλως ἑαυτοὺς ἀναθεμένοις οὐ χρὴ παρατηρεῖν τὰς τῶν διαθηκῶν κατὰ νόμους ἀκριβείας· ἀλλ' ἐπειδή περ καὶ αὐτοὶ οὐκ ἔξω τῶν τοῦ κόσμου πραγμάτων τυγχάνουσιν, ἀλλὰ καὶ φόροις καὶ δημοσίοις ὑπόκεινται καὶ παντοιοτρόπως σπεύδουσι πρὸς σύστασιν τῶν ἐκκλησιαστικῶν πραγμάτων αὐτῶν, διὰ τοῦτο καὶ αὐτοὶ διαθήκας ἐκτίθεσθαι παρεχωρήθησαν. Τούτοις τοίνυν κἀγὼ ὁ δεῖνα μοναχὸς ἑπόμενος, ὁ τὸ οἰκεῖον ὄνομα αὐτοχείρως ἄνωθεν τοῦδε τοῦ ὕφους προτάξας, ἐν ἀρρωστίᾳ γενόμενος καὶ τὴν ἀνθρωπείαν μετάστασιν τοῦδε τοῦ βίου ἐπὶ νοῦν φέρων, διὰ τὸ εἰδέναι με ὅτι οὐδὲν τῶν τοῦ περιγείου κόσμου τερπνὸν καὶ ἄφθαρτον καὶ ἀγήρατον ἕως τῆς συντελείας διαμένει, ἀλλὰ πᾶν τὸ ἐκ συνθέτου συγκείμενον ἐξ ἀνάγκης καὶ διαλυθήσεται καὶ εἰς τὸ μὴ ὂν ἐξ οὕπερ καὶ τὴν ἀρχὴν

(1) μεταγενεστέρα χεὶρ ἑρμηνεύει τὴν λέξιν « ταχὺ[ς] θάνατος ».
(2) χειρ. ἐννόσω.

εἴληφε καταντήσειε, πτοηθεὶς τὸ τοῦ θανάτου μυστήριον, μήπως ἐπέλθῃ καὶ ἐπ' ἐμὲ ἡ τούτου τομὴ καὶ τῶν ἐντεῦθεν ἁρπάσῃ, καὶ φεῦ, ζημιώσῃ ψυχήν, ἠθέλησα τὰ κατ' ἐμὲ καὶ τὰ προσόντα τῇ κατ' ἐμὲ ἁγιωτάτῃ ἐκκλησίᾳ ἐγγράφως ἐκθεῖναι, ἵνα, εἰ συμβῇ μοι τῶν ὧδε μεταστῆναι, εἴη (1) δῆλα τὰ κατ' ἐμὲ καὶ μή τι συνεσκιασμένον τε καὶ ἀπόκρυφον τοῖς μένουσι δόξῃ καταλιπεῖν καὶ ὡς ἐκ τούτου τοῖς ἐκδουλεύουσί μοι ἀνθρώποις διενοχλῶσι· καὶ γὰρ διατίθημι οὕτως.

---

24. Ἕτερον εἰς μοναχοῦ (2) διάταξιν.

Εἰ μὲν ἐμείναμεν ὅπερ ἦμεν καὶ τὴν ἐντολὴν ἐφυλάξαμεν, ἐγενόμεθα ἂν ἀπαθανατισθέντες ὡς ἄϋλον βίον διάγοντες· ἐπειδὴ δὲ τῷ (3) τῆς ἡδονῆς ἡττήθημεν δελεάματι καὶ τῷ ἀγκίστρῳ τοῦ ὀλοθρευτοῦ προσεπάρημεν, ἐξ ἀφθαρσίας εἰς φθορὰν μετηνέχθημεν, ὡς ὁ λόγος ἐδήλωσε, καὶ θανάτῳ τὴν ζωὴν ἀντηλλάξαμεν· διὸ καὶ μνήμη θανάτου, ψυχῆς ἐπιστροφὴ πρὸς μετάνοιαν πλουσίοις τε καὶ πένησιν, ἄρχουσι καὶ ἀρχομένοις, μονασταῖς καὶ μιγάσι, νέοις καὶ γέρουσιν, ἀλλὰ δὴ καὶ πάσῃ ἡλικίᾳ· ἀλλὰ τοῖς κατὰ κόσμον διαθῆκαί τε καὶ κωδίκελλοι καὶ νομικαὶ ἀπογραφαὶ ὡς ἄγκυραι δέδοκται παρὰ τῶν νόμων κατισχύουσαι εἰς ἐκπλήρωσιν τῶν βουλευμάτων αὐτῶν καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν, τοὺς δὲ τὸν μονήρη βίον ἀσπασαμένους, ἐπείπερ ὁ κόσμος ἐσταύρωται καὶ ζῶντες θνητοὶ τῷ κόσμῳ λογίζονται, ἔδει λόγῳ μόνῳ πειθαρχοῦντας τοῖς τῷ καλῷ ζυγῷ τοῦ Χριστοῦ ἐπηρνημένοις (4) μὴ δέεσθαι γραφῶν, ἀλλ' ἀρκεῖσθαι μόνοις τοῖς τῶν θείων πατέρων διατάγμασι καὶ ταῖς τῶν ἁγίων διδασκαλίαις· ἐπεὶ δὲ τὸ κρατῆσαν ἔθος ἐν τῷ

(1) χειρ. εἰ. (2) χ. μοναχόν. (3) τῶν. (4) χ. ἐπαρνημένοις.

κόσμῳ καὶ τοῖς μονοτρόποις ἐφήπλωται, καὶ συνήθειαν ἔσχε τὸ ἔργον, διὰ τοῦτο καὶ ἐν διαθήκαις οἱ μοναχοὶ καταγράφονται. Οἷς ἑπόμενος κἀγὼ ὁ δεῖνα μοναχός, νόσῳ βαρείᾳ περιπεσὼν καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν κεκτημένος, ἐλογισάμην τὰ δοκοῦντά μοι ὡς ἔχουσι σήμερον ἐμφανίσαι καὶ κατάδηλα ποιῆσαι τοῖς ὅλοις δηλαδὴ παραβαλοῦσι πατράσι καὶ ἀδελφοῖς ἡμῶν τοῖς ἐν τῇ (1) καθ' ἡμᾶς εὐαγεστάτῃ (2) καὶ σεβασμίᾳ μονῇ, ἵνα διὰ τῆς τελευταίας καὶ εὐτελοῦς μου ταύτης γραφῆς καὶ ὁμολογίας, παρρησίᾳ καὶ τῶν ἐν τούτῳ προσ-
φ. 169. |κληθέντων καὶ ὑπογραψάντων ἀξιολόγων μαρτύρων, ὦσι δῆλα τὰ κατ' ἐμέ· καὶ γὰρ διατίθημι οὕτως.

25. Ἐπιστατικὸν ἱερέως ὃ ποιεῖ ὁ ἐπίσκοπος.

Ἔμελλον ἄρα τινὲς τῶν ἀπροσέκτων καὶ ἀφυλάκτων ἐφέσει δόξης καὶ αἰσχροκερδείας τὰς ἰδίας πατρίδας ἀμείβοντες, ἢ ἐφ' ἑτέρας ἐνορίας ἀπαίροντες (3) τὸ τῆς ἱερωσύνης αὐτοῖς ἐπιψηφίζειν ἀξίωμα, ἀνιέρως ὡς ἄν τις φαίη καὶ ἐναγῶς τὰ θεῖα μεταχειρίζειν μυστήρια· ἵν' οὖν μὴ τῇ ἀδείᾳ οὑτωσὶ καταχρώμενοι τὰ τοιαῦτα ἐπ' εὐχερίαις ἔχοιεν δρᾷν, μὴ δεῖν ἄτερ γραμμάτων συστατικῶν τῶν χειροτονησάντων αὐτοὺς ἐπισκόπων, ὑπὸ τῶν κατὰ πόλιν καὶ χώραν ὑπερορίους προΐεσθαι καὶ ἐπιτρέπειν ἱερουργεῖν, εὖγε ποιῶν ὁ κανὼν διορίζεται· ὡς ἂν δέῃ καὶ εἰς τὸν εὐλαβέστατον ἱερέα τὸν δεῖνα ἐγὼ ὁ ἐλάχιστος ἐπίσκοπος ὁ δεῖνα διά τε τὴν γνῶσιν, διά τε τὴν ἐνοῦσαν αὐτῷ ἀρετήν, ἔτι δὲ καὶ τὰς παρὰ τῶν ἀξιολόγων ἀνδρῶν μαρτυρίας δεξάμενος, ἱερέα προεχειρισάμην· ὅθεν καὶ τὸ παρὸν συστατικὸν ὑπόμνημα αὐτῷ ἐπιδέδωκα, ἵνα ἐν ᾗ ἂν πόλει ἢ χώρᾳ διέρ-

(1) χειρ. τοῖς. (2) χ. εὐχγεστάτην. (3) χ. ἀπέροντες.

χηται, πατέρες καὶ ἀδελφοί μου συλλειτουργοί τε καὶ ἐπίσκοποι, ἀσμένως αὐτὸν ὑποδέχησθε καὶ ἱερουργεῖν μὴ ἀπείργητε, ἀνεπιλήπτου γὰρ βίου καὶ ἀκαταγνώστου ἐστί, καὶ τὴν λοιπὴν ἅπασαν ἀρετὴν καὶ ὀρθοδοξίαν κεκτημένος· διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν συστατικὸν ὑπόμνημα τῇ αὐτοχείρῳ μου ὑπογραφῇ βεβαιωθέν, ἐπεδόθη αὐτῷ εἰς ἀσφάλειαν, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆςδε.

---

26. [Ἄκτος] εἰς ἐκμαρτύριον τινὸς ὑποθέσεως.

Οὐδὲν τῆς ἀληθείας ἐρασμιώτερον ἢ προτιμότερον καὶ τὸ ἐπὶ στόματος κεκτῆσθαι αὐτήν, ὥςπερ δὴ καὶ τοῦ ψεύδους οὐδὲν μισητὸν ἢ φευκτότερον, κἂν μυρίοις ἐπιχρώμασι συσκιάζηται, εὔδηλον τοῦτο γίνεται καὶ καταρρεῖ ῥᾳδίως, ἡ δὲ ἀλήθεια γυμνὴ πρόκειται πᾶσι τοῖς βουλομένοις αὐτοῖς τὴν ὥραν ἐπισκοπεῖν· ᾗτινι συνακολουθοῦντες καὶ ἡμεῖς οἱ ἄνωθεν τοῦ παρόντος ὕφους σιγνογραφήσαντες καὶ κάτωθεν ὑπογράψαι ὀφείλοντες, ἅτε ἀληθείας ὑπάρχοντες πρεσβευταὶ καὶ τὴν ἀλήθειαν τοῦ ψεύδους προτιμοτέραν ἡγούμενοι, οὐκ ἀποκρῦψαι ταύτην ἀλόμεθα, ἀλλὰ λαμπρῷ καὶ μεγάλῳ ἀνακηρῦξαι τῷ στόματι, εἰδότες ὡς εἰς θεὸν ἀνομήσομεν εἰ τὴν ἀλήθειαν συγκαλύψομεν. Τῆς ἡμετέρας οὖν μαρτυρίας τὸν θεὸν προβαλλόμεθα μάρτυρα· ἔχει δὲ τῆς παρ' ἡμῶν εἰσηγουμένης ἀληθείας ἡ ὑπόθεσις οὕτως· καὶ γὰρ τόδε καὶ τόδε.

27. Ἀπόδειξις ἣν ποιεῖ ὁ γαμβρὸς πρὸς τοὺς συμπενθερεῖς αὐτοῦ.

Τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ὁμολογίαν καὶ ἀπόδειξιν καὶ εἰς τὸ μέλλον ἔτι ἀφροντισίαν καὶ ἀμεριμνίαν

τὴν ἐκ τῶν φιλευσεβῶν νόμων ἰσχὺν καὶ δύναμιν ἔχουσαν, ἀλλὰ στέργειν καὶ μένειν εἰς τὸ ἀεὶ ὡς οὐ κατὰ βίαν ἢ ἀνάγκην, ἢ ἀπάτην, ἢ χλεύην, ἢ ῥᾳδιουργίαν, ἢ δελεασμόν, ἢ συναρπαγήν, ἢ φάκτου ἄγνοιαν, ἢ ἀρχοντικὴν ἐπικουρίαν ἢ δυναστείαν, ἢ ἄλλην τινὰ αἰτίαν τὴν ἀπὸ τοῦ νόμου ἐπιτετραμμένην, ἢ ἀπηγορευμένην καὶ ἐς ὕστερον ἐπιγινωσκομένην, ἀλλ᾽ ἑκουσίᾳ μου βουλῇ καὶ ἀποδοχῇ καὶ θελήσει μετὰ χρονίας διασκέψεως καὶ μεμεριμνημένου σκοποῦ, πρὸς ὑμᾶς τοὺς συμπενθερεῖς (1) μου καὶ πρὸς ἅπαν τὸ μέρος ὑμῶν, καθὼς δηλωθήσεται· καὶ γὰρ ἐπειδὴ ἔφθασα λαβεῖν τὴν γνησίαν ὑμῶν θυγατέρα τὴν δεῖνα εἰς γνησίαν μου γαμετὴν καὶ νόμιμον σύζυγον, εἶτα καὶ ἱερολογηθεὶς μετ᾽ αὐτῆς ἐπὶ νομίμῳ γάμῳ καὶ πρώτῳ συνοικεσίῳ, ἀνελαβόμην δὲ ἀνελλιπῶς ἀφ᾽ ὑμῶν τῶν εἰρημένων πενθερῶν μου, καὶ τὴν ἐν τοῖς γαμικοῖς συμφώνοις ἡμῶν ἅπασαν προῖκα, ἤγουν τόδε καὶ τόδε, καὶ ταῦτα κατὰ ἀρέσκειαν ἐμήν, συμπαρόντων καὶ τῶν κάτωθεν ὑποτεταγμένων μαρτύρων, ἰδοὺ πεποίηκα πρὸς ὑμᾶς τὴν παροῦσαν ἀπαλλακτικὴν ἀπόδειξιν, ἥτις καὶ ἐγράφη ἐξ ἐντολῆς ἡμετέρας διὰ χειρὸς νομικοῦ τοῦ δεῖνος, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆςδε.

28. Εἰς διάζευξιν ἀνδρογύνου, ὃ ποιεῖ ὁ ἐπίσκοπος καὶ κατέχεται παρὰ τοῦ ἀνδρός.

Ἐπεὶ πρὸ καιροῦ ἱκανοῦ ἔφθασαν γαμικὰ σύμφωνα γενέσθαι μέσον Γεωργίου τοῦδε καὶ Εἰρήνης τῆςδε, καὶ πρὸ τοῦ εὐλογηθῆναι τούτους καιροῦ τινος παραδραμόντος, εἰσῆλθε πρὸς ἡμᾶς ὁ ῥηθεὶς Γεώργιος διεγκαλῶν καὶ δυσωπῶν καὶ λέγων διάζευξιν τῆς συμφωνίας τούτων γενέσθαι, εἶτα καὶ τὴν γυναῖκα διερωτήσαντες, ᾑρετίσατο καὶ αὕτη γενέσθαι τοῦτο καὶ διαρραγῆναι τὰ σύμφωνα, διὰ τὸ πολλὰ αἴτια ἐπὶ τούτοις

(1) χειρ. πυνπενθερεῖς.

φανῆναι, ἡμεῖς δὲ τούτους πολλὰ παραινέσαντες κατὰ τὸ ὀφειλόμενον, οὐδόλως ἠνέσχοντο στέργειν τὰ μέσον αὐτῶν στιχηθέντα, | καὶ κατ' αὐτὸ τοῦτο τὸ παρὸν τῆς διαζεύξεως ἔγγραφον f. 170. τὸ καὶ σημειώματος τάξιν ἐπέχον ἡμεῖς ἐγχαράξαντες καὶ τῇ συνήθει ὑπογραφῇ ἐπιβεβαιώσαντες, τῷ παρόντι Γεωργίῳ ἐπιδεδώκαμεν ὡς ἂν κατέχῃ τοῦτο εἰς οἰκείαν ἀσφάλειαν καὶ ἀθώωσιν, καὶ ἐλευθέρως διάγῃ ἔνθα καὶ βούλοιτο, ἂν ἴσως καὶ βουληθῇ γυναικὶ ἐν ταύτῃ τῇ χώρᾳ προσαρμοσθῆναι ἵνα ἔχῃ τοῦτο ἐπ' ἀδείας πράττειν καὶ μὴ παρά τινος ἐμποδίζεσθαι· ὡσαύτως καὶ ἡ διαφόρως ῥηθεῖσα γυνὴ ἐλευθέρως καὶ ἀδεῶς ἔχειν πράττειν τὰ περὶ αὐτὴν ὡς βούλεται, μὴ παρεμποδιζομένη (1) μήτε παρ' αὐτοῦ, μήτε παρ' ἄλλου τινός, χάριν τῆς μέσον τῶν ἀμφοτέρων γεγονυίας συμφωνίας τοῦ γαμικοῦ συναλλάγματος. Εἰ δέ τις ἀναφανῇ ἐκ τούτων τῶν δύο μερῶν ὑπὲρ τοῦ ἑτέρου μέρους λέγειν τι, ἢ παρεμποδίζειν τὸν ἕτερον, ἵνα ζημιῆται χάριν προστίμου πρὸς τὸ στέργον μέρος καὶ ἐμμένον χρυσᾶ ὑπέρπυρα τόσα, καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον, μὴ καταφεύγων εἴς τινα νομικὴν βοήθειαν· διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν σημείωμα τῆς διαζεύξεως πρὸς αὐτοὺς ἐγεγόνει εἰς ἀσφάλειαν, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆςδε.

29. Ἕτερος πρόλογος [μαρτυρικοῦ ?]

Ἀκαταγώνιστόν τι χρῆμα καὶ ἄμαχον ἡ ἀλήθεια, οὔτε γὰρ δυνάμει καὶ βίᾳ ἰσχύος πολλῶν ἀφανίζεται, οὔτε τὸ πολύπλοκον καὶ πολυμήχανον ψεῦδος ταύτην νικῆσαι δύναται, ἀλλὰ γυμνὴ πρόκειται πᾶσι τοῖς βουλομένοις αὐτοῖς (2) τὴν ὥραν ἐπισκοπεῖν, ἧς καὶ ἡμεῖς τὸ ἐράσμιον ἀσπαζόμενοι, μαρτυροῦμεν ἅπερ αὐτοψὶ ἐθεασάμεθα· καὶ γὰρ τόδε καὶ τόδε.

(1) χειρ. παρεμποδιζαμένη. (2) γραπτέον, αὐτῆς.

ΒΑΣΙΛΙΚΑ ΔΙΑΤΑΓΜΑΤΑ (1).

1. Ἔνταλμα πρακτικόν.

Ἀνατίθημί σοι τῷ μεγαλοδοξοτάτῳ καὶ ἠγαπημένῳ μοι κυρῷ τῷ δεῖνι τὴν ἐνέργειαν τοῦ κατεπανικίου τοῦ δε ἀπ' ἀρχῆς τοῦ σὺν θεῷ εἰσελευσομένου μηνὸς τοῦ δε τῆς νῦν ἐνεστώσης τόσης ἰνδίκτου, ὀφείλοντος (2) διάγειν ἐπὶ συστάσει καὶ οἰκισμῷ τοῦ τοιούτου κατεπανικίου, καὶ οἰκονομεῖν καὶ πολιτεύεσθαι ἐν αὐτῷ πᾶσαν εὐνομίαν καὶ δικαιοπραγίαν, καὶ μὴ παραχωρεῖν τοῖς δυνατωτέροις καὶ εὐπορωτέροις κατεπεμβαίνειν τῶν ἀδυνάτων καὶ ἀπόρων ἀδίκῳ καὶ πλεονεκτικῷ τρόπῳ τινὶ καὶ τὰ τούτων παρυφαρπάζειν κτήματά τε καὶ πράγματα καὶ τοῖς οἰκείοις συναριθμεῖν, ἀλλὰ ἀνακόπτειν καὶ ἀναστέλλειν αὐτοὺς ἀπὸ τῆς τοιαύτης αὐτῶν ἀδίκου καὶ παραλόγου ὁρμῆς, κρίνειν τε τὰς παρεμπιπτούσας ὑποθέσεις παρουσίᾳ τοῦ διεγκαλοῦντος καὶ διεγκαλουμένου καὶ μονομερῶς καὶ ἀπὸ εἰσηγήσεως, καὶ τὸν ἀναφαινόμενον ὑπαίτιον (3) παιδεύειν καὶ ἐκταγιάζειν πρός τε τὴν ὑπόθεσιν καὶ τὸ πταῖσμα αὐτοῦ καὶ κατὰ τὴν ἐνοῦσαν αὐτῷ εὐπορίαν καὶ δύναμιν, καὶ ἀναλαμβάνεσθαι τὸ διαφέρον σοι ὑπὲρ ἀέρος δίκαιον καὶ εἰσκομίζειν τοῦτο πρός με ἐφ' ἑκάστῳ μηνὶ καὶ λαμβάνειν ἀπόδειξιν· ἐφ' ᾧ καὶ οἱ ἔποικοι ἅπαντες τοῦ τοιούτου κατεπανικίου, ἱερωμένοι, στρατευόμενοι καὶ ὁ κοινὸς ἅπας λαὸς ὁ-

(1) Τῶν βασιλικῶν τούτων διαταγμάτων τὸ μὲν πρῶτον ἐλήφθη ἐκ τοῦ αὐτοῦ Παρισινοῦ κώδικος (2509, φύλ. 170), τὰ δὲ ἑπόμενα δέκα καὶ ὀκτὼ ἐκ τοῦ ὑπ' ἀριθμὸν 2511 κώδικος τῆς αὐτῆς βιβλιοθήκης.

(2) γραπτέον, ὀφείλοντι. (3) χειρ. ὑπέτιον.

φείλουσιν ἔχειν εἰς σὲ πᾶσαν ὑπακοήν, εὐπείθειάν τε καὶ τιμὴν τὴν προσήκουσαν, πείθεσθαί τε καὶ ὑπακούειν ἐφ' οἷς ἂν παρὰ σοῦ ἐπιτάττωνται ἀφορῶσιν εἰς ἐκπλήρωσιν τῶν βασιλικῶν δουλειῶν· ἐπεὶ τούτου χάριν ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον ἐνταλτήριον γράμμα καὶ ἐπεδόθη σοι τῷ διαληφθέντι μεγαλοδοξοτάτῳ καὶ ἠγαπημένῳ μοι κυρῷ τῷ δεῖνι εἰς ἀσφάλειαν, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆςδε.

Ὁ δοῦλος τοῦ κραταιοῦ (1) καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως (2) δοὺξ ἀπογραφεὺς τῆς χώρας τῆςδε ὁ δεῖνα.

---

2. [Ἔν]ταλμα κεφαλατικ[ίου]. ϙ. 1.

[Ἡ βασιλεία μου] ἀνατίθησι διὰ τῆς παρούσης προστάξεως τῷ [κῦρ δεῖνι τὸ κεφαλα]τίκιον τοῦ κάστρου . . . . , ὀφείλοντι διάγειν ἐπὶ συστάσει καὶ οἰκισμῷ τῶν ἐποίκων αὐτοῦ, καὶ φροντίζειν καὶ ἐπιμελεῖσθαι τῆς ἀνακτίσεως καὶ περιποιήσεως καὶ ἀποβιγλίσεως καὶ λοιπῆς ἀσφαλείας καὶ κατοχυρώσεως [τοῦ τοι]ούτου κάστρου, ἔτι τε τῆς εὐνομίας καὶ ἰσότητος καὶ δικαιοπραγίας τῶν ἐποίκων πάντων αὐτοῦ, ὡς ἂν διαφυλάσσηται καλῶς σὺν βοηθείᾳ θεοῦ καὶ διὰ μεσιτείας τῆς ὑπεραγίας Θεοτόκου καὶ τῆς πρεσβείας τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ θαυματουργοῦ Δημητρίου τοῦ Μυροβλήτου, παρακινεῖν τε καὶ προθυμοποιεῖν καὶ διεγείρειν τοὺς ἐκεῖσε εὑρισκομένους στρατιώτας ἔχειν ἀνελλιπῆ τά τε ἄλογα καὶ ἅρματα αὐτῶν καὶ εὑρίσκεσθαι προθύμους ἐν ταῖς ἐπερχομέναις [δ]ουλείαις τῆς βασιλείας μου, ὀφειλόντων καὶ αὐτῶν [τῶν κατοικούντων] καὶ τῶν στρατιωτῶν καὶ τῶν λοιπῶν πάντων ἐποίκων τοῦ τοιούτου κάστρου ἔχειν εἰς αὐτὸν τιμ[ὴ]ν πᾶσαν,

(1) χ. κρατεοῦ. (2) χ. βασιλέος.

ὑπακοήν, καὶ εὐπείθειαν τὴν προσήκουσαν, ὅσα καὶ εἰς κεφαλὴν αὐτῶν, καὶ πείθεσθαι τούτῳ ἐφ' οἷς ἂν μέλλειν λέγειν πρὸς αὐτοὺς ἀφορῶσιν εἰς σύστασιν καὶ ἀσφάλειαν καὶ οἰκισμὸν αὐτοῦ καὶ εἰς ἐκπλήρωσιν τῶν ἐπερχομένων δουλειῶν τῆς βασιλείας μου· ὀφείλοντος καὶ αὐτοῦ λαμβάνειν ἐξ αὐτῶν καὶ ἀρκεῖσθαι εἰς μόνα τὰ κατὰ εὔλογον συνήθως (1) ἀπαιτούμενα τοῦ κεφαλατικίου δίκαια, καὶ μηδὲν πλέον λαμβάνειν παρὰ τὸ διατεταγμένον δίκαιον, ἐπεὶ [καὶ] τούτου ἕνεκεν ἐγένετο αὐτῷ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα.

---

3. [Διορισμὸς δημάρχου γειτονίας Κωνσταντινουπόλεως].

Ἡ βασιλεία μου ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος προστάγματος εἶναι καὶ εὑρίσκεσθαι τὸν .... εἰς δήμαρχον τῆς κατὰ τὴν θεοφύλακτον καὶ θεοδόξαστον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν γειτονίας καὶ ἐνορίας ... ὀφείλοντα φροντίζειν καὶ ἐπιμελεῖσθαι τῆς ἀ[σφαλείας?] καὶ περιποιήσεως καὶ ἀποβι[γλίσεως;] καὶ πάσης ἄλλης .... [ἑκάσ]του κάστρου τοῦ ἐκεῖσε μέρους, ἔτι δὲ τῆς εὐνομίας καὶ ἰσότητος καὶ δικαιοπραγίας τῶν ἐκεῖσε εὑρισκομένων καὶ κατοικούντων, ὡς ἂν διαφυλάσσηται καλῶς σὺν ἀντιλήψει θεοῦ, διὰ μεσιτείας τῆς ὑπεραγίας Θεοτόκου καὶ τῆς πρεσβείας τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ θαυματουργοῦ Δημητρίου τοῦ Μυροβλύτου· ὀφειλόντων καὶ αὐτῶν τῶν κατοικούντων ἐν τῇ τοιαύτῃ ἐνορίᾳ ἔχειν εἰς τοῦτον τιμήν, ὑπακοὴν καὶ εὐπείθειαν τὴν προσήκουσαν, ὅσα καὶ εἰς δήμαρχον αὐτῶν, καὶ πείθεσθαι τούτῳ ἐφ' οἷς μέλλει λέγειν πρὸς αὐτοὺς ἀφορῶσιν εἰς σύστασιν καὶ οἰκισμὸν καὶ ἀσφάλειαν αὐτῶν καὶ εἰς ἐκπλήρωσιν τῶν

(1) γραπτέον, συνήθειαν, ὡς ἐν τῇ ἑπομένῃ σελίδι στ. 3.

ἐπερχομένων δουλειῶν τῆς βασιλείας μου, ὀφείλοντος καὶ αὐτοῦ λαμβάνειν ἐξ αὐτῶν καὶ ἀρκεῖσθαι εἰς μόνα τὰ κατὰ εὔλογον συνήθειαν ἀπαιτούμενα τῆς δημαρχίας δίκαια, καὶ μηδὲν πλέον λαμβάνειν παρὰ τὸ εὐλόγως διατεταγμένον καὶ τὸ δίκαιον, ἐπεὶ τούτου ἕνεκεν ἐγένετο αὐτῷ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα.

---

4. [Διορισμὸς προκαθημένου κάστρου].

Ἡ βασιλεία μου διορίζεται διὰ τοῦ παρόντος προστάγματος εἶναι καὶ εὑρίσκεσθαι τὸν .... εἰς προκαθήμενον τοῦ κάστρου ..... ὀφείλοντα ἐπιμελεῖσθαι κατὰ πάντα τρόπον τῆς τε ἀσφαλείας αὐτοῦ καὶ τῆς εὐνομίας καὶ καλῆς καταστάσεως καὶ διαγωγῆς τῶν ἐποίκων αὐτοῦ, σπουδάζειν δὲ καὶ ἀλλοτρόπως διὰ τὸ γίνεσθαι καὶ ἀποπληροῦσθαι τὰς ἐπερχομένας ἐκεῖσε σὺν θεῷ δουλείας τῆς [βασιλείας] μου, ὀφειλόντων καὶ τῶν ἐποίκων πάντων τοῦ τοιούτου [κάστρου] ἔχειν πρὸς αὐτὸν τὴν ὀφειλομένην ὑπακοὴν | καὶ τιμήν, ὅσα καὶ εἰς προ- φ. 2
καθήμενον αὐτῶν· τούτου .....

---

5. Καστροφύλακα.

Ἡ βασιλεία μου διορίζεται διὰ τοῦ παρόντος προστάγματος εἶναι καὶ εὑρίσκεσθαι τὸν ..... εἰς καστροφύλακα τοῦ κάστρου ..... ὀφείλοντα φροντίζειν καὶ ἐπιμελεῖσθαι τῆς ἀνακτίσεως καὶ περιποιήσεως καὶ ἀποβιγλίσεως καὶ πάσης ἄλλης ἀσφαλείας καὶ κατοχυρώσεως σὺν θεῷ τοῦ τοιούτου κάστρου, καὶ σπουδάζειν διὰ παντὸς εἰς τὰς ἐπερχομένας ἐκεῖσε σὺν θεῷ δουλείας τῆς βασιλείας μου, ὀφειλόντων καὶ τῶν ἐποίκων

πάντων τοῦ τοιούτου κάστρου ἔχειν εἰς αὐτὸν τὴν προσήκουσαν ὑπακοὴν καὶ τιμήν, ὅσα καὶ εἰς καστροφύλακα αὐτῶν· ἐπεὶ τούτου χάριν ἐγένετο αὐτῷ.....

6. Πρόσταγμα τοῦ δεκάτου.

Ἐπεὶ (1) [ὁ κῦρ δεῖνα] ἀνεδέξατο ὁρισμῷ τῆς βασιλείας μου τὸ δέκατον τῆς γενηματικῆς πάσης εἰσόδου.... καὶ ἔταξε δοῦναι καὶ εἰσκομίσαι εἰς τὸ θεοφρούρητον βεστιάριον χρυσᾶ ὑπέρπυρα.... ἔχει θέλημα ἡ βασιλεία μου καὶ διορίζεται διὰ τοῦ παρόντος προστάγματος, ἵνα διενεργήσῃ τὴν τοιαύτην δουλείαν τῆς δεκατίας ἐπιμελῶς καὶ δικαίως, καὶ ἄνευ παραπαιτήσεως καὶ ἀδικίας τινός, καὶ ἀπαιτήσῃ καὶ ἐπάρῃ ἀπὸ παντὸς προσώπου τοῦ ἔχοντος ἐν τῇ περιοχῇ τοῦ... γενηματικὴν κατασπορὰν καὶ εἴσοδον αὐτὸ καὶ μόνον τὸ δέκατον, καθώς ἐστιν ὁρισμὸς τῆς βασιλείας μου, καὶ καθὼς συνεφώνησε καὶ ὑπεσχέθη ἐγγράφως, καὶ οὐδὲν εὕρῃ παρά τινος εἰς τοῦτο ἐμποδισμὸν ἢ διενόχλησιν, καὶ φέρῃ καὶ εἰσκομίσῃ εἰς τὸ θεοφρούρητον βεστιάριον τὰ τοιαῦτα χρυσᾶ ὑπέρπυρα, καθὼς συνεφώνησε καὶ ἔταξε· τούτου γὰρ χάριν...

7. Πρόσταγμα ἐξαρχικόν.

Η βασιλεία μου ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος προστάγματος εἶναι καὶ εὑρίσκεσθαι τὸν.... εἰς ἔξαρχον τῶν ταβουλλαρίων τῆς δημαρχίας...... ὀφείλοντα ποιεῖσθαι πρατήρια καὶ δ..... [γράμ]ματα καὶ σύμφωνα γαμήλια καὶ

(1) χειρ. ἐπί.

τἄλλα πολιτικὰ συμβόλαια, κατὰ τὴν ἀκρίβειαν τῶν νόμων καὶ κατὰ τὴν ἐπικρατήσασαν ἄνωθεν εὔλογον καὶ παλαιὰν συνήθειαν, καὶ κατὰ τὴν ὑποτύπωσιν τὴν ἐκτεθεῖσαν αὐτῷ παρὰ τῶν καθολικῶν κριτῶν τῶν Ρωμαίων· ὀφείλει δὲ ὁ τοιοῦτος καὶ τὰ ὑπὸ τῶν ἄλλων ταβουλλαρίων γραφόμενα συμβόλαια ἐν τῇ τοιαύτῃ πάσῃ δημαρχίᾳ ἐπιβλέπειν καὶ διορθοῦσθαι καὶ οἰκείαις ὑπογραφαῖς βεβαιοῦν, ὀφειλόντων καὶ αὐτῶν προσέρχεσθαι αὐτῷ ὡς ἐξάρχῳ αὐτῶν καὶ κοινολογεῖσθαι περὶ τῶν πραττομένων, καὶ τὰ γράμματα ἐπιδεικνῦναι καὶ τὴν διόρθωσιν ἐν πᾶσιν ἐπιζητεῖν εἴ τι μὴ καλῶς ἐγράφη παρ' αὐτῶν ἢ ἐπράχθη, ὥςτε ὑπογραφόμενα τὰ συμβόλαια παρά τε αὐτοῦ τοῦ ἐξάρχου καὶ τῶν ταβουλλαρίων ἑκάστου βεβαίως ἔχειν καὶ ἀσφαλῶς, ὡς οὐδενὸς τῶν τοιούτων συμβολαίων ἕξοντος τὸ κῦρος ἄνευ τῆς ὑπογραφῆς αὐτοῦ τοῦ ἐξάρχου καὶ τῶν ἄλλων τῶν εἰς τοῦτο ἀποταχθέντων ὁρισμῷ τῆς βασιλείας μου. Ποιείτω δὲ πάντα καὶ γραφέτω ὁ δηλωθεὶς .... χωρὶς δόλου τινὸς καὶ κακουργίας, πλαστογραφίας τε ἀπέχεσθαι, καὶ πραττέτω μηδὲν παρὰ τὴν ἀκρίβειαν τῶν νόμων καὶ τῶν ἐκδοθέντων τύπων αὐτῷ· ὁ γάρ τι τούτων φωραθεὶς ποιῶν ἢ ἐν οἷς αὐτὸς γράφει, ἢ ἐν οἷς ἄλλου γράφοντος ταβουλλαρίου αὐτὸς ὑπογράφει, πρῶτον μὲν ἐκπεσεῖται τοῦ ταβουλλαρικοῦ ὑπηρετήματος, ἔπειτα τιμωρηθήσεται καὶ κατὰ τὴν παρακέλευσιν τῶν νόμων, ὡς χρεωστῶν δοῦναι λόγον τῷ σεκρέτῳ τῆς βασιλείας μου μὴ μόνον ὑπὲρ ὧν αὐτὸς ποιεῖ καὶ γράφει, ἀλλὰ καὶ ὑπὲρ ὧν ἄλλου γράφοντος, αὐτὸς οἰκείαις ὑπογραφαῖς βεβαιοῖ· ἐπεὶ τούτου ἕνεκεν ἐγένετο...

8. Ὑποσχετικὸν τοῦ δεκάτου.

φ. 3. | Ἐπεὶ ὁρισμῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἀνεδεξάμεθα τὴν δουλείαν τοῦ δεκάτου πάσης γεννηματικῆς κατασπορᾶς καὶ εἰσόδου ..... καὶ ἐτάξαμεν καὶ ὑπεσχέθημεν δοῦναι καὶ εἰσκομίσαι εἰς τὸ θεοφρούρητον βεστιάριον ὑπὲρ τῆς τοιαύτης δουλείας χρυσᾶ ὑπέρπυρα..... ὑποσχόμεθα διὰ τῆς παρούσης ἐγγράφου ἡμῶν ὑποσχέσεως ἵνα ὑπηρετήσωμεν τὴν τοιαύτην δουλείαν ὀρθῶς καὶ καθαρῶς καὶ δίχα ἀδικίας καὶ παραπαιτήσεώς τινος, καὶ ἀπαιτήσωμεν ἀπὸ παντὸς προσώπου τοῦ ἔχοντος ἐκεῖσε γεννηματικὴν κατασπορὰν καὶ εἴσοδον αὐτὸ καὶ μόνον τὸ δέκατον, καὶ ἐντεῦθεν δώσωμεν καὶ εἰσκομίσωμεν εἰς τὸ θεοφρούρητον βεστιάριον τὰ εἰρημένα χρυσᾶ ὑπέρπυρα, καθὼς ἤδη ἐγγράφως συμφωνοῦμεν καὶ ὑποσχόμεθα, καὶ οὐ μὴ λοιπασθῶμεν τινὸς κατά τινα τρόπον· διὰ γὰρ τοῦτο ἐγένετο....

---

9. Τζαουσάτον.

Ἡ βασιλεία μου διορίζεται διὰ τοῦ παρόντος προστάγματος εἶναι καὶ εὑρίσκεσθαι τὸν .... εἰς τζαούσιον τῶν εἰς τὸ κάστρον .... εὑρισκομένων στρατιωτῶν, ὀφείλοντα ἐπιμελεῖσθαι τούτους καὶ καταναγκάζειν εἰς τὸ εἶναι προθύμους καὶ ἀόκνους εἰς τὴν ἀποβίγλισιν τοῦ ἐκεῖσε κάστρου καὶ τὰς λοιπὰς δουλείας τῆς βασιλείας μου, ὀφειλόντων καὶ τούτων ἔχειν εἰς αὐτὸν τιμήν, ὑπακοὴν καὶ εὐπείθειαν ὅσα καὶ εἰς τζαούσιον αὐτῶν καὶ ποιεῖν ὅσον μέλλει λέγειν πρὸς αὐτοὺς ἀφορῶσιν (sic) εἰς ἐκπλήρωσιν τοῦ ὁρισμοῦ τῆς βασιλείας μου· τούτου γὰρ χάριν ...

10. Ἐφορίαν.

Ἡ βασιλεία μου ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος προστάγματος ἵνα κρατῇ καὶ ἐφορεύῃ . . . . τὴν σεβασμίαν μονὴν τῆς βασιλείας μου τὴν εἰς ὄνομα τιμωμένην . . . ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ· ὅθεν καὶ ὀφείλει φροντίζειν κατὰ πάντα τρόπον τῆς ἐναρέτου καὶ εὐτάκτου διαγωγῆς καὶ θεαρέστου καὶ πνευματικῆς πολιτείας καὶ καταστάσεως τῶν ἐνασκουμένων αὐτῇ μοναχῶν, ἐπιμελεῖσθαι δὲ καὶ ἄλλως τῆς συστάσεως καὶ βελτιώσεως καὶ πρὸς τὸ κρεῖττον ἐπιδόσεως τῶν προσόντων αὐτῇ κτημάτων τε καὶ πραγμάτων. Ὀφείλουσι μέντοι καὶ οἱ ἐν αὐτῇ δὴ τῇ ῥηθείσῃ σεβασμίᾳ μονῇ ἀσκούμενοι μοναχοὶ ἔχειν εἰς αὐτὸν τιμήν, ὑπακοὴν πᾶσαν καὶ αἰδῶ καὶ εὐλάβειαν τὴν προσήκουσαν καὶ ὀφειλομένην, καὶ ὑπακούειν καὶ πείθεσθαι αὐτῷ ἐφ' οἷς μέλλει λέγειν πρὸς αὐτοὺς ἀφορῶσιν εἰς πνευματικὸν αὐτῶν καταρτισμὸν καὶ ψυχικὴν λυσιτέλειαν καὶ εἰς σύστασιν καὶ αὔξησιν τῶν προσόντων τῇ κατ' αὐτοὺς τοιαύτῃ σεβασμίᾳ μονῇ κτημάτων τε καὶ πραγμάτων· ἐπειδὴ τούτου . . . .

---

11. Πριμμικηράτον χρυσοβουλλάτων.

Ἡ βασιλεία μου διορίζεται διὰ τοῦ παρόντος προστάγματος ὡς ἂν εὑρίσκηται . . . . εἰς πριμμικήριον τῶν ἐν . . . . εὑρισκομένων χρυσοβουλλάτων· ὀφείλει τοίνυν ὁ τοιοῦτος ἐπιμελεῖσθαι κατὰ πάντα τρόπον τοῦ δηλωθέντος συστήματος τῶν εἰρημένων χρυσοβουλλάτων, σπουδάζειν τε καὶ παρακινεῖν καὶ διεγείρειν αὐτοὺς εἰς τὸ εἶναι ἀόκνους καὶ προθύμους ἐν ταῖς ἐπερχομέναις σὺν θεῷ δουλείαις τῆς βασιλείας μου, ὀφειλόντων

καὶ τῶν τοιούτων χρυσοβουλλάτων πάντων ἔχειν εἰς αὐτὸν εὐπείθειαν καὶ τιμὴν ὅσα καὶ εἰς πριμμικήριον αὐτῶν· τούτου γὰρ χάριν....

---

12. Παλατοφυλακάτον.

Ἡ βασιλεία μου διὰ τοῦ παρόντος αὐτῆς προστάγματος ἔχει θέλημα καὶ διορίζεται ὡς ἂν εὑρίσκεται... εἰς παλατοφύλακα τῶν θεοφρουρήτων παλατίων τῆς βασιλείας μου· ὅθεν καὶ ὀφείλει ὁ τοιοῦτος ἐπιμελεῖσθαι κατὰ πάντα τὸν δυνατὸν αὐτῷ τρόπον τῆς περιποιήσεως καὶ ἀνακτίσεως καὶ λοιπῆς πάσης ἀσφαλείας τῶν τοιούτων θεοφρουρήτων παλατίων ἵνα συνίστανται καὶ φυλάσσωνται καλῶς, εὐδοκοῦντος τοῦ θεοῦ. Ὡσαύτως διορίζεται ἡ βασιλεία μου ἵνα κρατῇ ὁ τοιοῦτος παλατοφύλαξ καὶ ἐνοχοποιῆται τοὺς εἰς τὴν θεοφύλακτον
φ. 4. Κωνσταντινούπολιν εὑρισκομένους | καὶ οἰκοῦντας οἰκοδόμους καὶ λεπτουργοὺς τεχνίτας πάντας, καὶ ἐπιμελῆται τῆς συστάσεως αὐτῶν κατὰ πάντα τρόπον, καὶ διεγείρῃ καὶ προθυμοποιῇ αὐτοὺς εἰς τὰς ἐπερχομένας σὺν θεῷ ἀναγκαίας καὶ κοινωφελεῖς χρείας καὶ δουλείας τῆς βασιλείας μου, καὶ ἐντεῦθεν ἔχῃ καὶ αὐτὸς ἐξ αὐτῶν τὸ σύνηθες καὶ τεταγμένον, ὡς καὶ οἱ πρὸ αὐτοῦ παλατοφύλακες· ὀφείλουσι δὲ καὶ οἱ δηλωθέντες οἰκοδόμοι καὶ λεπτουργοὶ τεχνῖται ἔχειν εἰς αὐτὸν ὑπακοὴν καὶ τιμὴν τὴν προσήκουσαν· τούτου γὰρ χάριν....

---

13. Προβιβασμοῦ ἐκκλησίας.

Ἡ βασιλεία μου, κατὰ τὸ ἔθος καὶ τὸ προνόμιον ὅπερ ἔλαβεν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἀπὸ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἡ βασιλεία μου εἰς τὸ προβιβάζειν τινὰς τῶν ἐκκλησιῶν εἰς

μείζονας καὶ ὑψηλοτέρους βαθμούς, προβιβάζει ἤδη καὶ τὴν ἁγιωτάτην ἐκκλησίαν τὴν .... ἀπὸ ἐπισκοπῆς εἰς μητρόπολιν, καὶ θεσπίζει καὶ προστάσσει μητρόπολιν εἶναι ταύτην εἰς τὸ ἑξῆς καὶ μητροπόλεως ἔχειν ἀξίωμα καὶ ὄνομα· τόν τε μὴν ἀρχιερατικῶς ἀρτίως αὐτῆς προϊστάμενον κῦρ .... μητροπολίτην διορίζεται ἡ βασιλεία μου εἶναι ἀπὸ τοῦ νῦν καὶ συντιμᾶσθαι τοῖς ὑπερτίμοις, καὶ τὸν τόπον τοῦ δεῖνος κατέχειν αὐτὸν ἕως ἂν τοῖς ζῶσι συγκαταλέγηται, καὶ τοὺς μετ' αὐτὸν ἀρχιερατεύσοντας εἰς τὴν τοιαύτην ἁγιωτάτην ἐκκλησίαν μητροπολίτας εἶναι καὶ ὀνομάζεσθαι βούλεται ἡ βασιλεία μου· καὶ τούτου χάριν ἐγένετο τῇ ῥηθείσῃ μητροπόλει ... καὶ τῷ ταύτης ἀρχιερατικῶς προϊσταμένῳ ἱερωτάτῳ μητροπολίτῃ ... καὶ ὑπερτίμῳ καὶ τὸν τόπον ἐπέχοντι τοῦ ... τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα.

---

14. [Ἐπικυρωτικὸν μητροπολίτου].

Ἐπεὶ ὁ παναγιώτατός μου δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης μετὰ τῆς περὶ αὐτὸν θείας καὶ ἱερᾶς συνόδου συνδιασκεψάμενοι προεβίβασαν τὸν θεοφιλέστατον ἐπίσκοπον ... κῦρ ... καὶ μετέθηκαν καὶ ἀποκατέστησαν αὐτὸν εἰς γνήσιον ἀρχιερέα τῆς ἁγιωτάτης μητροπόλεως .... ὥς τε ἔχειν αὐτὸν ἐπ' ἀδείας ποιεῖν ἐν αὐτῇ τὰ προσήκοντα καὶ ὀφειλόμενα τούτῳ ὡς γνησίῳ ἀρχιερεῖ, καθὼς ἡ γεγονυῖα αὐτῷ συνοδικὴ πρᾶξις κατὰ μέρος διαλαμβάνει, ἐδέησε δὲ ἀπολυθῆναι καὶ πρόσταγμα τῆς βασιλείας μου ἐπὶ τούτῳ διὰ τὴν ἐντεῦθεν ἀσφάλειαν, ἔχει θέλημα ἡ βασιλεία μου καὶ διορίζεται ἤδη διὰ τοῦ παρόντος προστάγματος ὡς ἂν εὑρίσκηται εἰς τὸ ἑξῆς ὁ τοιοῦτος εἰς γνήσιον ἀρχιερέα τῆς ἁγιωτάτης μητροπόλεως ..... καὶ ποιῇ ἐν αὐτῇ πάντα ὅσα τοῖς γνησίοις ἀρχιερεῦσι παρὰ

τῶν ἱερῶν κανόνων ἐφεῖται καὶ δέδοται ποιεῖν ἐπὶ ταῖς λαχούσαις αὐτούς, κατὰ τὴν περίληψιν τῆς γεγονυίας αὐτῷ συνοδικῆς ἐγγράφου πράξεως καὶ καταστάσεως· τούτου γὰρ χάριν ἐγένετο αὐτῷ δὴ τῷ ἱερωτάτῳ μητροπολίτῃ .... καὶ ὑπερτίμῳ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα:

15. Σεβαστάτον.

Ἡ βασιλεία μου τιμᾷ διὰ τῆς παρούσης αὐτῆς προστάξεως τὸν ..... τῷ τῶν Σεβαστῶν ἀξιώματι, καὶ διορίζεται συντιμᾶσθαι αὐτὸν τοῖς οὕτω τετιμημένοις ἔν τε προόδοις, καθέδραις, στάσεσί τε καὶ συνελεύσεσι· τούτου γὰρ χάριν ἐγένετο τῷ δηλωθέντι σεβαστῷ κῦρ .... τὸ παρόν.

16. Ὀφφίκιον.

φ. 5. | Ἡ βασιλεία μου τιμᾷ διὰ τῆς παρούσης αὐτῆς προστάξεως τὸν .... τῷ ὀφφικίῳ τοῦ .... ὅθεν καὶ ὀφείλει ἀπολαύειν τῆς ἐντεῦθεν ἀνηκούσης αὐτῷ τιμῆς· τούτου γὰρ χάριν ἐγένετο τῷ διαληφθέντι οἰκείῳ, τῆς βασιλείας μου ...... κῦρ .... τὸ παρόν.

17. Πρόσταγμα εἰς τὸ ἐνθρονιᾶσαι τράπεζαν ἱεράν.

Ἡ βασιλεία μου, κατὰ τὸ ἐπικρατῆσαν καὶ δεδομένον ἄνωθεν προνόμιον τῇ βασιλείᾳ παρὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὥς τε ἐνδιδόναι οἷς ἂν βούλοιτο τῶν ἀρχιερέων ἱερουργεῖν τε καὶ ἐπιτελεῖν ὅσα τοῖς ἀρχιερεῦσιν ἐφετόν, καὶ ἀρτίως δια-

τιμήσασα γνήσιον ἀρχιερέα καὶ πατριάρχην ταύτης τῆς βασιλίδος τῶν πόλεων, ἐνδίδωσι σοὶ τῷ ἱερωτάτῳ μητροπολίτῃ καὶ ὑπερ[τίμῳ] . . . . . ὥς τε ἱερουργῆσαι τὰ θεῖα μυστήρια ἐν ᾗ ἂν βούλει τῶν ἐν Κωνσταντινουπόλει ἐκκλησιῶν, καὶ καθιερῶσαι καὶ ἐνθρονίσαι τράπεζαν ἱερὰν δυναμένην μεταφέρεσθαι ἀπὸ τόπου εἰς τόπον διὰ κοινὴν χρῆσιν καὶ ὠφέλειαν· τούτου γὰρ χάριν ἐγένετό σοι καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα.

---

18. Ὁρκωμοτικὸν εἰς βασιλέα.

Ὀμνύω εἰς τὸν θεόν, εἰς τὰ ἅγια αὐτοῦ εὐαγγέλια, εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, εἰς τὴν ὑπεραγίαν δέσποιναν Θεοτόκον τὴν Ὁδηγητρίαν καὶ εἰς πάντας τοὺς ἁγίους, ὅτι νὰ ἦμαι πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα κῦρ . . . . . τὸν . . . . πιστὸς ὑποχειρὸς ἐφ' ὅλῃ μου τῇ ζωῇ, πιστὸς δὲ οὐ διὰ λόγου μόνον, ἀλλὰ καὶ δι ἔργων τῶν παρὰ τῶν ὀρθῶν ὑποχειρῶν πρὸς τοὺς ἑαυτῶν δεσπότας ἐνεργουμένων καὶ ἐπιδεικνυμένων· οὐ μόνον δὲ πρὸς αὐτὸν ἵνα ὦ τοιοῦτος, ἀλλὰ καὶ πρὸς τὴν βασιλείαν αὐτοῦ ἣν ἔχει καὶ ἣν ἕξει, καὶ εἰμὶ τῶν φίλων αὐτοῦ φίλος, καὶ τῶν ἐχθρῶν αὐτοῦ ἐχθρός, καὶ οὔτε κατ' αὐτῶν, οὔτε κατὰ τῆς βασιλείας αὐτοῦ βουλεύσομαί ποτε, ἢ μεταχειρίσομαι, ἢ συνευδοκήσω τινί, ἢ ἐργάσομαί τι δολίως καὶ κακῶς, οὐδὲ παρυποκρύψω αὐτῷ εἴ τι παρά τινων ὁποιονδήποτε κακωτικὸν διαπρᾶξαι, ἀλλὰ βασιλεύοντι μὲν καὶ εὐημεροῦντι σύνειμι καὶ ἐκδουλεύω αὐτῷ πιστῶς καὶ ὀρθῶς κατὰ τὴν ἀκριβῆ ἀλήθειαν καὶ ὀρθότητα, καὶ ὁποῖον ἀπαιτεῖ αὐτὴ ἡ ὄντως ἀλήθεια εἶναι καὶ εὑρίσκεσθαι τὸν ἀληθῆ καὶ ὀρθότατον δοῦλον εἰς τὸν ἑαυτοῦ δεσπότην, παραχωρήσει δὲ θεοῦ δυστυχήσαντι ἢ ἐξορισθέντι

συνακολουθήσω αὐτῷ καὶ συγκακοπαθήσω καὶ συγκινδυνεύσω αὐτῷ μέχρι καὶ αὐτοῦ τοῦ θανάτου ἐπὶ πάσῃ μου τῇ ζωῇ.

φ. 6. 19. | Πρόσταγμα πρὸς τοὺς ἐν Κωνσταντινουπόλει ἐπιδημοῦντας μητροπολίτας εἰς τὸ ποιῆσαι ψήφους περὶ οἰκουμενικοῦ πατριάρχου.

Οἱ ἐν τῇ θεοφυλάκτῳ, θεοδοξάστῳ καὶ θεομεγαλύντῳ Κωνσταντινουπόλει εὑρισκόμενοι καὶ ἐπιδημοῦντες ἱερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι, θέλησις καὶ ὁρισμός ἐστι τῆς βασιλείας μου ἵνα ποιήσηται ψήφους περὶ πατριάρχου οἰκουμενικοῦ· συνελθόντες οὖν ἐν τῷ εἰθισμένῳ τόπῳ, καὶ τὴν χάριν τοῦ παναγίου πνεύματος ἐπικαλεσάμενοι, ποιήσατε τοὺς περὶ πατριάρχου ψήφους, κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν εἰς τοῦτο ἐκκλησιαστικὴν τάξιν τε καὶ συνήθειαν, καὶ ὅσον ἂν ποιήσητε καὶ καταστήσητε ἀπὸ τῆς συνελεύσεως καὶ τῆς συνδιασκέψεως ὑμῶν σὺν θεῷ, ἀναφέρετε καὶ δείξατε τοῦτο εἰς τὴν βασιλείαν μου, ἵνα καὶ αὐτὴ διορίσηται περὶ τούτου ὅσον ἂν διακρινῇ καὶ φανῇ αὐτῇ προσῆκόν τε καὶ ἁρμόδιον· ποιήσατε δὲ τοῦτο ἐπιμελῶς, συντόμως, καὶ ὡς διορίζεται καὶ παραδηλοῖ ἡ βασιλεία μου τῇ ὑμῶν ἱερότητι διὰ τοῦ παρόντος προστάγματος· ἀπολυθέντος τῇ ....

ΚΡΗΤΙΚΑΙ ΔΙΑΘΗΚΑΙ.

1. 1486 σεπτεμβρίου 27, διαθήκη Θεοδώρου Τουρλινοῦ.

'Εν ὀνόματι τοῦ αἰωνίου θεοῦ, ἀμήν· ἔτει τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου καὶ θεοῦ καὶ πατρὸς ἡμῶν 'Ιησοῦ Χριστοῦ, ἀμήν, εἰς ͵αυπϛ' ἐν μηνὶ σεπτεμβρίῳ κζ' ἰνδικτιῶνος γ'.

'Επειδὴ φοβερώτερον οὐδὲ ἀδηλότερον οὐκ ἔστι [ἢ] τὸ τοῦ θανάτου μυστήριον, καὶ οὐκ οἴδαμεν τὴν ὥραν οὐδὲ τὴν ἡμέραν, ποίᾳ ὥρᾳ ἔρχεται ὁ ἄωρος θάνατος, φοβηθεὶς ἐγὼ ὁ Θεόδωρος ὁ Τουρλινὸς ὁ οἰκούμενος ἐν τῷ βούργῳ τοῦ Χάνδακος, ὑγιὴς δὲ τῷ νοῒ τῇ τοῦ θεοῦ χάριτι, ἀσθενὴς ὢν τῷ σώματι, καὶ οὐκ ἔγνω τὴν ἐμὴν τελευτήν, ἐπροσκαλεσάμην τόνδε τὸν νοτάριον τὸν κὺρ Μανόλη τὸν 'Υαλινᾶν, ἐπροσκαλεσάμην καὶ τούσδε τοὺς ἀξιοχρέους μάρτυρας τὸν κὺρ Φραντζίσκον τὸν Φόσκολον καὶ τὸν κὺρ Γεώργιον τὸν Μεσοῦρον· ποιῶ δὲ ἐμοὺς ἐπιτρόπους καὶ κομεσαρίους μου κατὰ τοὺς νόμους τῆς ἐκλαμπροτάτης μου αὐθεντείας τὴν γυναῖκάν μου τὴν κερὰ Μαρίαν, καὶ τὴν θείαν της τὴν κερὰ 'Ανέζαν τὴν Φυριόλενα, ὡς πιστοὺς ἐμῆς πίστεως· καὶ ὡς ἐγὼ διατάσσομαι, οὕτως καὶ αὐταῖς μετὰ τὸν ἐμὸν θάνατον νὰ τελειώσουν τὰ πάντα καλῶς ἐν θεῷ καὶ ἀνθρώποις. Ὧν πρῶτον δίδω τοῖς ἅπασι χριστιανοῖς τὴν χρεωφειλετικὴν συγχώρησιν· ἔτι ἐὰν ἀποδράσω καὶ ἐξανθρωπισθῶ ἵνα μὲ ἐνταφιάσουσιν εἰς τὸν ἅγιον Μάρκον τὸν Ρωμαῖκον εἰς τὸ 'Εξώπορτον, καὶ νὰ μὲ ἐνταφιάσουν κατὰ τὴν συνήθειαν τῶν χριστιανῶν· ταῦτα. Καὶ οἱ ἐμοὶ ἐπίτροποι οἱ ἄνω γεγραμμένοι, ἤγουν ἡ γυναῖκα καὶ ἡ θεία της ἡ κερ' 'Ανέζα νὰ εἶναι εἰς ὅ τι ἔχω κομεσάριαις δίδειν καὶ γυρεύειν. Ἔτι ἀφήνω εἴ τι ἔχω κινητὰ καὶ ἀκίνητα τῆς γυναίκας μου καὶ τῶν παιδίων μου τῶν τεσσάρων, καὶ ἂν ἀπεθάνῃ τὸ ἕναν παιδὶ νὰ πάγουν

κατὰ διαδοχὴν εἰς τὸ ἄλλον, ἕως τέλος· εἰ δὲ καὶ ὅλα ἀπεθάνουν, νὰ εἶναι ἡ ἄνω εἰρημέναις μου γυναίκαις, νὰ μηδὲ ἠμπορεῖ νὰ τὴν ἐναντιωθῇ τινάς. Ἀκόμη, ὡς φαίνεται μὲ χειρόγραφον τῆς ἐμῆς χειρός, χρεωστῶ με' ὑπέρπυρα τοῦ Ἑβραίω τοῦ μοναχοῦ τοῦ Ντελμέντεγο, καὶ βαστάζει με μίαν κούπαν ζ' οὐγγίων καὶ μίαν καδέναν τριῶν οὐγγίων. Ἔτι ὁ Ἑξοδάκτυλος μὲ βαστάζει μίαν καδέναν ς' οὐγγίων οδιὰ ὑπέρπυρα ιθ' μὲ ἴδιόν μου χειρόγραφον. Ἔτι ὁ μαΐστρο Λάζαρος ὁ Ἑβραῖος οδιὰ ἀγάπην καὶ φιλίαν μὲ βαστάζει μίαν κούπαν τριῶν οὐγγίων οδιὰ δουκάτον ἕναν, χωρὶς σαρίτι. Ἔτι τοῦ Καψάλη τοῦ Ἑβραίου ἡ γυναῖκα μὲ βαστάζει ἕναν δακτυλίδιν χρυσοῦν χωριάτικον, οδιὰ ἕναν ἐξάγιν χρυσάφιν, οδιὰ ὑπέρπυρα β'. Ἀκόμη τοῦ μισὲρ Νικολῶ Ἀμπράμω οδιὰ μίαν σεντέντζια ὁποῦ μοῦ εἶχε ποιήσει ὑπέρπυρα ριε', καὶ ἐπλήρωσά τον καὶ ἐπόμεινα ρέστος ὑπέρπυρα β' καὶ ὀκτὼ γρόσα. Ἀκόμη χρεωστῶ τοῦ κὺρ Φιλίππω Κουρσάρι δουκάτα βενέτικα β' καὶ βαστάζει με ἕναν μανιάκην μαργαριταρένον δουκάτων βενέτικων ζ'· ἀκόμη τοῦ ἄνω εἰρημένου Κουρσάρη τοῦ κὺρ Φιλίππω μίστατα ς' χοντρόκρασον, καὶ ἂς τὰ βάλλῃ ὡς ὅλη ἡ προτοιμασία. Ἀκόμη θέλει νὰ παραλάβῃ ὁ Μαρτζέλος ὁ υἱὸς οδιὰ ἄχυρα ρέστος ὑπέρπυρα δ', ἢ καὶ πλεῖον ὀλίγον ἢ ὀλιγώτερον. Ἀκόμη εἰς ὅ, τι εἴχαμεν νὰ ποιήσωμεν μὲ τὸν κουνιάδον μου τὸν κὺρ Κωνσταντῖνον τὸν Σουρέτον, οὕτως εἰς προικία, οὕτως ἄλλους λογαριασμούς, οὔτε αὐτὸς ἔχει νὰ ποιήσῃ πλέον μετ' ἐμοῦ ἕως τὴν σήμερον, οὔτε ἐγώ· ἔτι καὶ οἱ ἀδελφοί μου οὔτε αὐτοὶ ἔχουν νὰ ποιήσουν εἰς τινὰ πρᾶγμαν μετ' ἐμοῦ, οὔτε ἐγώ, καὶ οδιὰ τὴν ψυχήν μου ἀφήνω τοῦ καθενός μου ἀδελφοῦ τοῦ κὺρ Τζανῆ καὶ τοῦ Μιχέλη, τοῦ πασανὸς ὑπέρπυρα ι'. Ἔτι ἐρώτησα τὸν ἀσθενῆν τὸν ἄνω γεγραμμένον, ἢ διὰ τὸν ἅγιον Λάζαρον ἢ διὰ τὸ σπιδάλιν, ἢ διὰ τὴν Σάντα Μαρίαν, ἢ διὰ τὸν λαζαρέτον, ἢ διὰ τὴν πιετάδα ἐὰν ἀφήνει τίποτας, καὶ ἀπεκρίθην με, οὐχί.

Ἀκόμη θέλω νὰ παραλάβω ἀπὸ τὸν κὺρ Πέρο Σολντὲν ὁδιὰ τὴν βεντέκαν ὁποῦ τοῦ ἐποίησα εἰς τοὺς λεγομένους τόπους εἰς τὰ Λεμωνάρι καὶ εἰς τὸν Ἀπόλενα καὶ Σκόπιλα τοῦ Διμηνίτη οὕτως ὡσὰν πληρώνουν ὁποῦ ποιοῦν ταῖς βεντέκαις.

Ὅστις δὲ εὑρεθῇ καὶ ἐναντιωθῇ τῇ ἐμῇ διαθήκῃ οὐ μόνον τὸ τοῦ θεοῦ κρίμα λήψεται, ἀλλὰ ζημιωθήσεται ὑπέρπυρα σ', νὰ ἀναλοῦνται εἰς τὰ τείχη τοῦ Χάνδακος· καὶ ἡ παροῦσα νὰ ἔναι βεβαία εἰς πᾶσαν αὐλὴν αὐθεντίας.

Ἔτι ἀφήνω τοῦ νοτάρου ὁδιὰ τὴν ψυχήν μου ὑπέρπυρα ε'. Διὰ μαρτυριῶν τῶνδε. Ego Francesco Foscolo. Ἐγὼ ὁ Γεώργιος ὁ Μουσοῦρο μαρτυρῶν ὑπέγραψα.

Μανουὴλ ὁ Ὑαλινὰς νοτάριος ἰνπεριάλες παρακληθεὶς ὑπέγραψα.

---

2. 1487, αὐγούστου 30, δουλευτικὸν Γεωργίου Τορναία.

Ἐν ὀνόματι τοῦ αἰωνίου θεοῦ, ἔτει τῆς ἐνσ[άρκου οἰκονομίας τοῦ κυρίου καὶ θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ] εἰς ᾳυπζ' ἐν μηνὶ αὐγούστῳ λ', ἰνδ. γ'.

Καθομολογᾷ ὁ κὺρ Γεώργιος Τορναία ὁ τοῦ Μανουήλ, ὁ οἰκούμενος εἰς τὸ χωρίον Μουλανᾶ ἀπὸ τὸ χωρίον τοῦ Κορνάρω τοῦ κὺρ Μιχελῆ, ὅτι στοιχᾷ μὲ πᾶσάν του ὄρεξιν καὶ ἀγαθὴν προαίρεσιν μὲ τὸν κὺρ Ἀλέξην τὸν Πενιατόπουλον τὸν Σαλουμέρον τὸν οἰκούμενον ἐν τῷ βούργῳ τοῦ Χάνδακος χρόνον α', καὶ ἄρχεται ἀπὸ τὴν πρώτην τοῦ σεπτεμβρίου, ὁδιὰ ὑπέρπυρα κη', ἕως ὅτου νὰ ποιήσῃ τὸν χρόνον ἕως τὸν ἐρχόμενον σεπτέμβριον. Ἔτι νὰ ἔναι κρατημένος ὁ εἰρημένος κὺρ Ἀλέξιος νὰ τὸν ποιήσῃ, ἔξω ἀπὸ τὴν ἄνω γεγραμμένην του ρόγαν, ἕναν γαμπᾶν καὶ μίαν ρασογουνέλαν καὶ ἕναν ζουπόνι λινόν, καὶ ἕναν ζευγάρι στιβάλια καὶ β' πικάμισα. Καὶ δίδει του τόρα ὑπέρπυρα τρία. Καὶ αὐτὸς νὰ ἔναι κρατημένος νὰ δουλεύῃ

πιστὰ καὶ καλά, κατὰ τὴν τάξιν τῶν στοιχιτάδων. Καὶ ἂν ἤθελε θελήσει ὁ εἰρημένος νὰ μισεύσῃ πρὶν τοῦ καιροῦ, νὰ χάνῃ ὅλην του τὴν ρόγαν. Εἰ δὲ καὶ ὁ κὺρ Ἀλέξης ἐνθυμήθη νὰ τὸν ἀπολογιάσῃ χωρὶς αἰτίας, νὰ τὸν δίδῃ ἐξωκαιραίως τὴν ρόγαν νὰ πάῃ.

---

3. 1487 αὔγουστος, συμβιβαστικὸν Ἰωάννου Φράγγου καὶ Ἀγγελῆ Ἀλαμάνου.

Ἐν ὀνόματι τοῦ ἁγίου θεοῦ, ἔτει τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀμήν, εἰς ͵αυπζ΄ ἐν μηνὶ αὐγούστῳ καὶ ἰνδικτ. γ΄.

Συμβιβάζουνται χάριτι θεοῦ ὁ κὺρ Ἰωάννης ὁ Φράγγος ὁ τοῦ Γεώργη, ὁ οἰκούμενος ἐν τῷ βούργῳ τοῦ Χάνδακος, ὁμοίως καὶ ὁ κῦρις Ἀγγελῆς ὁ Ἀλαμάνος τοῦ Γεώργη τοῦ οἰκουμένου καὶ αὐτοῦ ἐν τῷ ἐξωπόρτῳ τῆς Κρήτης, ἵνα βάλλωσιν αἱρετὰς καὶ φιλοαιρετὰς εἰς πᾶσαν δύναμιν καὶ ἐξουσίαν, ὡς κριτὰς καὶ πράξεως τῆς ἐκλαμπροτάτης αὐθεντίας, καθὼς θέλουν καὶ ὑπουσχοῦνται αἱ ἄνω γεγραμμέναι μερίδαι, ντίτο ἐντεφάτο, εἴ τι ποιήσουν νὰ ἔναι στερκτέον εἰς ἅπασαν κρίσιν. Ὧν πρῶτον βάνει ὁ ἄνω εἰρημένος κὺρ Ἰωάννης κριτήν του τὸν μισὲρ Μάρκον τὸν Ματζαμάον· δεύτερον ὁ κὺρ Ἀγγελῆς ὁ ἄνω εἰρημένος βάνει τὸν κὺρ Ἀνδρέαν τὸν Νταπόρτον. Ὅταν οὐδὲν ἔχουν οἱ ἄνω γεγραμμένοι αἱρεταὶ καὶ οἱ φιλοαιρεταὶ συμβίβασιν εἰς τὴν ὑπόθεσιν τὴν ἔχουν αἱ ἄνω γεγραμμέναι μερίδαι, νὰ βάλλουν καὶ τρίτον πρόσωπον κατὰ τοὺς νόμους τῆς ἐκλαμπροτάτης αὐθεντίας τῆς Βενετίας. Ἔτι νὰ ἔχουν τέρμενον ἕως ἡμέρας η΄, καὶ ἂν περάσουν αἱ η΄ ἡμέραι, νὰ δύνουνται νὰ πέρνουν καὶ ἑτέρας η΄.

4. 1488 νοεμβρίου 13, διαθήκη Κωνσταντίνου Σκουλούδη.

'Εν ὀνόματι τοῦ ἁγίου θεοῦ, ἔτει τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀμήν, εἰς αυπη', ἐν μηνὶ νοεμβρίῳ ιγ', ἰνδικτιῶνος ς'.

'Επειδὴ φοβερώτερον οὐδὲ ἀδηλότερον οὐκ ἔστι τὸ τοῦ θανάτου μυστήριον, καὶ οὐκ οἴδαμεν τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν ποῖα ἔρχεται ὁ ἄωρος θάνατος· διὰ τοῦτο ἐγὼ ὁ Κωνσταντῖνος ὁ Σκουλούδης, υἱὸς ποτὲ τοῦ Μανουήλ, ὁ οἰκούμενος ἐν τῷ βούργῳ τοῦ Χάνδακος, ἀσθενὴς ὑπάρχω τῷ σώματι, ὑγιὴς δὲ τῷ νοῒ καὶ τὰς φρένας μου σῶας τῇ τοῦ θεοῦ χάριτι, φοβηθεὶς δὲ μήπου αἰφνηδίως ἐπιστᾶσα ἡ ἐμὴ τελευτὴ ἁρπάσῃ με τῶν ἐντεῦθεν χωρὶς διατάξεως, μένωσι δὲ τὰ ἐμὰ πάντα ἀδιόρθωτα εἰς τὸ καθόλου, ἐπροσκαλεσάμην τόνδε τὸν νοτάριον τὸν κὺρ Μανουὴλ τὴν κατὰ τὴν ἄτομον ὀνομασίαν 'Υαληνᾶν· ἐπροσκαλεσάμην καὶ τούσδε τοὺς ἀξιοχρέους μάρτυρας, καὶ ἐπὶ τῇ παρουσίᾳ αὐτῶν ἐκέλευσα γραφῆναι ἡ ἐμὴ ταύτη διαθήκη, καὶ ὡς ἐγὼ διατάττομαι οὕτως καὶ αὐτοὶ μετὰ τὸν ἐμὸν θάνατον τελειώσωσι τὰ πάντα ἐνθέως καὶ εὐαρέστως. Ποιῶ δὲ καὶ ἐπίτροπον καὶ κομεσαρίαν τὴν ἐμὴν γυναῖκαν, τὴν κερὰ Κεράναν εἰς εἴ τι εὑρεθῇ ἀπὸ τὸ ἐμόν, κινητά τε καὶ ἀκίνητα. Ἔτι ἀφιέω τοῖς πᾶσι χριστιανοῖς τὴν συγχώρησιν· ἔπειτα, ἐὰν ἐξανθρωπισθῶ ἀπὸ τοῦ νῦν, νὰ μὲ ἐνταφιάσῃ ἡ ἐμὴ γυνὴ καὶ κομεσαρία μου ὅπου αὐτὴ ἔχει θέλημα καὶ εἰς ὅποιον μοναστήριον ὀρέγεται. Ἔτι νὰ λάβῃ ἡ ἐμὴ γυνή, τὸ κατ' ἀρχὰς τὸ προικίον της τὸ ὁποῖον μὲ ἔδωκε καὶ ἔλαβα, ὑπέρπυρα ᾳτ' καθὼς φαίνεται καὶ μὲ σηγουρτάδε παρὰ ἀξίου νοταρίου, Νικολάου τοῦ Τραγανίτου. Ἔτι ἐὰν περισσεύσῃ τίποτε ἀπὸ τὸ εἰρημένον της προικίον εἴ τι εὑρεθῇ νὰ ἔναι ὅλον ἐδικόν της, καὶ

νὰ μηδὲν εὑρεθῇ τινὰς νὰ ἐναντιωθῇ, εἰ μὴ νὰ ἔναι κυρία εἰς ὅλα τὰ ἅπαντα, καὶ ἂς ποιήσει εἴτι ἔχει θέλημα διὰ τὴν ψυχήν μου. Ἔτι ἐὰν περισσεύσῃ τὸ περιβόλιν ἀπὸ τὸ προικίον της, τὸ ὁποῖον μὲ ἐφῆκεν ψυχικὸν ὁ ἐξάδελφός μου ὁ Μανόλης ὁ Α'μαριανίτης ὁμοίως καὶ ἡ γυναῖκά του, καθὼς φαίνεται, νὰ ἔναι καὶ αὐτὸ τῆς εἰρημένης μου γυναίκας καὶ κομεσαρίας μου ἴδιόν της, πουλήσει, χαρίσει, προικίσει, διὰ τὴν ψυχήν της ποιήσει, καὶ τὰ ἑξῆς. Ἔτι ἀφείω τοῦ υἱοῦ της τοῦ κὺρ Πέρω ὑπέρπυρα ι'. Ἔτι ἀφείω καὶ τῶν παιδιῶν του τοῦ καθ' ἑνὸς ὑπέρπυρα ε'. Ἔτι ἀφείω καὶ ὅποιος ἐδικὸς εὑρεθῇ σαρκικὸς ὑπέρπυρον α'. Καὶ ὅστις εὑρεθῇ καὶ ἐναντιωθῇ τῇ ἐμῇ διαθήκῃ, οὐ μόνον τὸ τοῦ θεοῦ κρίμα λήψεται, ἀλλὰ καὶ ζημιωθήσεται ὑπέρπυρα σ' ἵνα ἀναλοῦνται εἰς τὰ τείχη τοῦ Χάνδακος, καὶ ἡ παροῦσα διαθήκη νὰ μένῃ βεβαία εἰς πᾶσαν αὐλὴν αὐθεντικήν.

Διὰ μαρτυριῶν παρακληθέντων τῶνδε. Φανούριος Τριβιζᾶ μαρτυρῶν ὑπέγραψα. Ἐγὼ ὁ Γεώργιος ὁ Γαβαλᾶς μαρτυρῶν ὑπέγραψα. Ἐγὼ ὁ Ἀντώνιος Κατελᾶς μαρτυρῶν ὑπέγραψα. Μανουὴλ ὁ Ὑαλινᾶς ταβουλάριος παρὰ τῆς βασιλικῆς ἐξουσίας παρακληθεὶς ὑπέγραψα.

---

5. 1490 ἰανουαρίου 23, διαθήκη Ἰωάννου Τζαγκαρόλα.

Ἐν ὀνόματι τοῦ ἁγίου θεοῦ, ἔτει ἀπὸ τῆς Χριστοῦ γεννήσεως εἰς αυϟ' τοῦ μηνὸς ἰανουαρίου κγ', ἰνδ. ια'.

Ἐπειδὴ φοβερώτερον οὐδὲ ἀδηλότερον οὐκ ἔστι τὸ τοῦ θανάτου μυστήριον, καὶ οὐκ οἴδαμεν τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ποίαν ἔρχεται ὁ ἄωρος θάνατος, διὰ τοῦτο κἀγὼ ὁ Ἰωάννης τὴν κατὰ τὴν ἄτομον ὀνομασίαν κὺρ Τζαγκαρόλας, φοβηθεὶς

δὲ μήπως αἰφνιδίως ἐπιστάσας ὡς μὴ τελευτῇ (1) ἁρπάσῃ με τῶν ἐντεῦθεν χωρὶς διατάξεως, ἔχοντα τὰς φρένας σώας καὶ ἀκεραίας καὶ τὸν νοῦ μου ὑγιᾶν, καὶ μείνῃ τὸ ἐμὸν ἀδιόρθωτον εἰς τὸ καθόλου, ἐπροσκαλεσάμην τόνδε τὸν νοτάριον τῆς βασιλικῆς ἐξουσίας τὸν κὺρ Μανουὴλ Ὑαλινᾶν· ἐπροσκαλεσάμην καὶ τούςδε τοὺς ἀξιοχρέους μάρτυρας, τὸν κὺρ Ἰωάννην τὸν Ἱστοριαγράφον τὸν Καπάδοκα, καὶ τὸν κὺρ Νικόλαον τὸν ἐπονομαζόμενον Μιτυληναῖον. Ἔτι ποιῶ καὶ ἐμὸν κομεσάριον ἔτι καὶ λετάριον τὸν κὺρ Ἀντώνιον τὸν ἐμὸν γαμβρὸν τὸν Δαμηλᾶν· καὶ ἐπὶ παρουσίᾳ τῶν ἐκέλευσα γραφῆναι ἡ ἐμὴ ταύτη διαθήκη, καὶ ὡς ἐγὼ διατάττομαι οὕτως καὶ αὐτοὶ μετὰ τὸν ἐμὸν θάνατον τελειώσωσι τὰ πάντα ἐνθέως καὶ εὐαρέστως. Ἔτι ἀφείω τοῖς πᾶσι χριστιανοῖς τὴν συγχώρησιν τὴν ἀναγκαίαν καὶ πρεποῦσαν· ἔτι ἵνα μὲ ἐνταφιάσουν εἰς τὴν Κυρίαν τὴν Πανύμνητον εἰς τὸ ἐξώπορτον· ἔτι ἵνα μὲ ποιήσουν καὶ ἕνα τεσσαρακονταήμερον· ἔτι τὰ 'πίλοιπά μου πράγματα τὰ κινητά τε καὶ ἀκίνητα ἀφείω τα τοῦ ἄνω εἰρημένου μου κουμεσαρίου, ἅτινα εἰσὶν μία κασελοπούλα μικρὰ καὶ μία ταύλα ντεματζάρη μικρά, ἵνα μὲ ποιήσῃ καλὸν χάριν τῆς ψυχῆς μου τῆς ἁμαρτωλοῦ. Ἔτι ἀφείω τὸ μαντέλο μου καὶ τὸ ὀσπίτιν μου τῆς ἐγγόνησας τῆς Νχαντιάνας διὰ τὴν ψυχήν μου· ἔτι καὶ τὸν πάνγκον καὶ τὴν κνηζόλαν ἀφείω τῆς Μαρίας, τῆς θυγατρὸς τοῦ Φουνάρη καὶ τῆς Ψωμᾶ τῆς Ἀνέζας, ὡς παιδίν μου πνευματικόν, καὶ 'ς τὰ δεύτερα τοῦ Κήτου μὲ τὸν γαμβρόν μου τὸν ἄνω εἰρημένον. Ὅστις δὲ ἐναντιωθῇ τῇ ἐμῇ ταύτῃ διαθήκῃ οὐ μόνον τὸ τοῦ θεοῦ κρίμα λήψεται, ἀλλὰ καὶ ζημιωθήσεται χρυσίου λίτραν μίαν.

Διὰ μαρτύρων παρακληθέντων τῶνδε· ἐγὼ Ἰωάννης Καππάδωκας μαρτύρω· ἐγὼ Νικόλαος ὁ Μιτυληναῖος μαρτυρῶ.

(1) γραπτέον, ἐπιστᾶσα ἡ ἐμὴ τελευτή.

6. 1494 μαρτίου 8, συμβιβαστικὸν Νικολάου Χαλῆ καὶ Μιχέλη Καλούδη.

Ἐν ὀνόματι (τοῦ θεοῦ) ἔτει ͵αυϞδ' μηνὸς μαρτίου η', ἰνδ. ιβ'. Συμβιβάζουνται ἀπ' ἀλλήλων εἰς τὸ ὄνομα τῆς ὑπερουσίου θεότητος, ὧν πρῶτος ὁ κὺρ Νικόλαος ὁ ἐπονομαζόμενος Χαλῆς ὁ ῥάπτης, υἱὸς ποτὲ τοῦ Μιχαήλ, ὁ οἰκούμενος ἐν τῷ βούργῳ τοῦ Χάνδακος, μὲ τὰ μέρη τοῦ δευτέρου κὺρ Μιχέλης ὁ ἐπονομαζόμενος Καλούδης ὁ τοῦ Κώνστα, ὁ οἰκούμενος καὶ αὐτὸς ἐν τῷ βούργῳ Χάνδακος, ὁ χαλκεύς, τοιουτοτρόπως· δίδει ὁ ἄνω εἰρημένος, οἰκείῳ θελήματι καὶ καθαρᾷ προαιρέσει, ὁ κὺρ Νικόλαος τοῦ εἰρημένου Μιχαὴλ ἕναν ζευγάριν ὀσπίτια νοικίου πληρώνοντα εἰς τὸν κάθε χρόνον ὑπέρπυρα ιδ' καὶ νοικιάζει τα τοῦ εἰρημένου ὀδιὰ χρόνους β', δίδωντα ἔμπροσθεν α' δουκάτον χρυσοῦν βενέτικον τοῦ ζυγίου, τὰ δ' ἕτερα εἰς θέλημαν καὶ ὄρεξίν του, σεβαίνοντα ἔσω εἰς τὸ ὀσπίτιον ὅταν περάσουν ἡ σκόλα.

---

7. 1496 φεβρουαρίου 5, διαθήκη Ἀλῃανᾶ Σαμπάθε.

͵αυϞϛ' τῇ ε' τοῦ φεβρουαρίου. Ἐγὼ Ἀλῃανᾶ νομικὸς υἱὸς τοῦ ποτὲ Σαμπάθε, οἰκῶν ἐν Ἰουδαΐᾳ Χανδάκου Κρήτης, βουλόμενος διαθέσαι πάντα ὅσα εὑρίσκομαι ἔχων ὑπὸ τὴν ἐμὴν ἐξουσίαν, κατὰ τὴν ἐμὴν βούλησιν καὶ γνώμην, ἐκάλεσα πρός με Ἀντώνιον Δαμιλᾶ, ὥστε τῇ ἐκείνου γραφῇ διαθέσθαι καὶ γνῶναι ὅσα βούλομαι καὶ ὡς θέλω ἀφιέναι οἷς ὑπογράψω καὶ διαθήσομαι. Πρῶτον οὖν βούλομαι εἶναι ἐμὸν κομεσάριον καὶ ἐπιμελητὴν ταύτης τῆς ἐμῆς διαθήκης Ζαχαρίαν υἱὸν τοῦ ποτὲ Ἀβραὰμ Σατ-

σφούτου τὸν κουνιάδον μου· τοῦτον οὖν ἀφίημι τὰ ια' δουκάτα ἅ μοι κρατεῖ ὁ ρηθεὶς Ζαχαρίας ὁ κουνιάδος μου, καὶ εἴ τι ἄλλο ἐμὸν εὑρίσκεται ἔξω τούτων, ὅπως μερίσωνται οἱ ἐμοὶ τρεῖς ἀδελφοί, ὁ Λιάχος νομικὸς καὶ Χρυσάννα καὶ Καλὴ ἐπίσης. Ἔτι ἀφίημι τῇ θυγατρὶ τοῦ Ζαχαρίου Ξανθούλᾳ ὑπέρπυρα ι' διὰ τὴν ψυχήν μου· καὶ τῇ θυγατρὶ τοῦ Σαγγάλου τῇ Κεράννᾳ ὑπέρπυρα ι' διὰ τὴν ψυχήν μου. Ἔτι ἀφίημι τῇ θυγατρὶ τῆς εἰρημένης Σαγγαλίσσης τῇ Ἀστέρῳ ἅπαντά μου τὰ ἐσθήματα καὶ ὅσα εἰσὶ τῆς φορεσᾶς μου. Ἔτι εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων μέτρα τοῦ ἐλαίου δύο· τοῦ νοταρίου τούτου μαρτζήλια γ'.

Ἐρωτηθεὶς εἰ βούλεται εἰπεῖν ἕτερόν τι, ἀπεκρίθη ὅτι [οὔ], καὶ ταύτην τὴν ἐμὴν διαθήκην εἶναι βεβαίαν καὶ ἀμετακίνητον, παρακληθεῖσαν ἐνώπιον τῶν ὑπογραφομένων μαρτύρων.

[Ἡ ὑπογραφὴ τοῦ διαθέτου ἑβραϊκοῖς γράμμασιν, ἡ δὲ τῶν μαρτύρων οὐχ εὕρηται ἀποσχισθέντος τοῦ χάρτου].

---

8. 1496 νοεμβρίου 25, διαθήκη Λευὶ Λιάχου.

Τῇ κε' τοῦ νοεμβρίου αυϟϛ'. Ἐγὼ μαγιστρο-Λευὶ νομικὸς υἱὸς τοῦ ποτὲ Λιάχου ἰατρός, οἰκῶν ἐν Ἰουδαΐᾳ Χάνδακος νήσου Κρήτης, ὑγιὴς μὲν τὸν νοῦν καὶ τὰς αἰσθήσεις, βλέπων δὲ πρὸς τὸ ἐμὸν γῆρας καὶ τὸ ἀσθενὲς καὶ βουλόμενος διαθέσθαι μετὰ τὸν ἐμὸν θάνατον πάντα ὅσα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ἐστίν, καὶ ἵνα μὴ ὀπίσω μου ἀφήσω φιλονεικίας ἀναμεταξὺ τῆς Νεχαμῆ θυγατρός μου καὶ τῆς γυναικός μου, ἔδοξέ μοι γράψαι ταύτην τὴν ἐμὴν διαθήκην χειρὶ Ἀντωνίου Δαμιλᾶ βασιλικοῦ νοταρίου. Πρῶτον οὖν ἀφίημι κομεσαρίους ταύτης τῆς ἐμῆς διαθήκης Ἐργήναν τὴν ἐμὴν γυναῖκα καὶ ραββὶ Δαυὶδ Χουλῆ, ὅπως διαθέσωνται ταύτην τὴν ἐμὴν διαθήκην κατὰ τὴν ἐμὴν γνώμην καὶ βούλησιν· εἶτα ἀφίημι πάντα τὰ ἐμὰ βιβλία

ὅσα εὑρίσκομαι ἔχων καὶ κέκτημαι ἐν τῇ ἐμῇ οἰκίᾳ, καὶ μίαν βατζέλαν μικρὰν καὶ ἑτέραν μείζονα καὶ ἓν βατζέλιον ὅπερ ἔχω διὰ . . . .
ἀφίημι τῇ ἐμῇ θυγατρὶ τῇ Νεχαμῇ, ἐὰν μὴ προφθάσας ἀναλώσω ἐξ αὐτῶν διὰ τὴν ἀσθένειάν μου· τὰ λοιπὰ δὲ ὅσα περικλείεται ἐν τῷ ἐμῷ οἴκῳ γινώσκω εἶναι τῆς ἐμῆς εἰρημένης γυναικὸς Ἐργήνας, ἥν τινα οὐ βούλομαί τινα ἐκ τῶν ἐμῶν συγγενῶν, οἰκείων, ἢ τέκνων, ἢ γαμβρῶν ἐνοχληθῆναι· αὐτοῖς ἀρκεῖ, ὅτι οὐκ ἀφῆκα ἐκ τῶν ἐμῶν κτημάτων αὐτῇ· διὰ τοῦτο οὐδὲ ὄχλησίν τινα βούλομαι ἀφεῖναι αὐτῇ· οὐ γὰρ ἐκαρπώσατο ἐξ ἐμοῦ τὸ οἱονοῦν, εἰ μὴ μόνον τὸν ἄρτον ὃν συνέσθιέ μοι τὸ παρεληλυθός· ὁ δὲ ἄρτος ὢν μισθὸς τῆς ὑπουργίας αὐτῆς, μόλις ἦν ἱκανὸς πρὸς τὸ πληρῶσαι τὴν ὑπηρεσίαν αὐτῆς: ἔτι ἀφίημι πᾶν ἐκεῖνο ὃ μοὶ ὀφείλεται ἀπὸ τὴν κάμεραν τοῦ κοσμουνίου τῇ ἐμῇ εἰρημένῃ γυναικὶ καὶ τῇ ἐμῇ εἰρημένῃ θυγατρί, ὅπως μερίσωνται αὐτὰ τὰ χρήματα ἃ μοὶ ὀφείλει ἡ κάμερα ἐπίσης καὶ ὁμοίως· θέλω δὲ ἵνα ἡ ἐμὴ γυνὴ ἐκ τοῦ μέρους αὐτῆς σκονδαρισθέντος ἐκ τῆς καμέρας δώσῃ διὰ τὴν ψυχήν μου, εἰς πένητας ὅσον καὶ ᾧ τινι βουλήσεται κατὰ τὴν αὐτῆς διάκρισιν· ἀνανεώσῃ δὲ καὶ τὰ γράμματα καὶ τὸ ἰντρουμέντον ἃ ἐγένετο τὰ μὲν διὰ τοῦ κὺρ Κυρίλλου Γραδενίγου, τὸ δὲ διὰ τούτου τοῦ νοταρίου περὶ τῶν ἃ ἔχει ἐν ταῖς χερσὶν αὐτῆς ἡ εἰρημένη Ἐργήνα . . . .
. ἐστερήσθω παντὸς πράγματος, καὶ λάβῃ ἃ ἀφίημι αὐτῇ καὶ γινέσθωσαν τῆς ἐμῆς γυναικὸς τῆς Ἐργήνας. Καὶ ταύτην τὴν ἐμὴν διαθήκην βούλομαι εἶναι ἀμετακίνητον καὶ ἀμετάθετον, καὶ ὁ ἐναντιωθησόμενος ζημιωθήτω δουκάτα ν' καὶ κατηραμένος ἔστω, παρακληθεῖσαν ἐνώπιον τῶν ὑπογεγραμμένων μαρτύρων. Καὶ ἐνταφιασάτω με ἡ ἐμὴ γυνὴ ταῖς αὐτῆς ἐξόδοις.

Ἐγὼ Κωνσταντῖνος Ἀλεφοῦζος ἔγραψα καὶ μαρτυρῶ. Ἐγὼ Μιχαὴλ ὁ Ἀρχοντοφώτης μαρτυρῶν ὑπέγραψα.

9. 1497 μαΐου 27, διαθήκη Γεωργίου De Cipris.

αυϟζ' μηνὸς μαΐου κζ'. Ἐγὼ Γεώργιος De Cipris υἱὸς τοῦ ποτὲ Ἰωάννου οἰκῶν ἐν Χάνδακι τῆς νήσου Κρήτης, ἀσθενὴς μὲν τῷ σώματι, ὑγιὴς δὲ τῷ νῷ καὶ ταῖς λοιπαῖς αἰσθήσεσι, βουλόμενος διαθεῖναι πάντα τὰ ἐμὰ πράγματα, κινούμενα καὶ ἀκίνητα, πρὸ τοῦ τὸν θάνατον καταλαβεῖν με, ἐποίησα καλέσαι πρός με Ἀντώνιον Δαμιλᾶ νοτάριον βασιλικόν, ὅπως τῇ ἐκείνου γραφῇ διαθήσωμαι αὐτὰ κατὰ τὴν ἐμὴν γνώμην καὶ θέλησιν· καὶ πρῶτον ἁπάντων βούλομαι ταύτης τῆς ἐμῆς διαθήκης εἶναι ἐπιμελητὰς καὶ κομεσαρίους τὸν μισὲρ Φραγγίσκον Πόνον τὸν γαμβρὸν τοῦ μισὲρ Ἰάκουμου Γεωργίτζα καὶ τὸν Ἀνδρόνικον Λευκαδιώτην τὸν ἰατρόν, καὶ τὰς δύο μου θυγατέρας Μαρίαν καὶ Ἑλένην. Καὶ πρῶτον ἀφίημι ἐν τῷ μοναστηρίῳ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου τῆς Πάτμου ὑπέρπυρα ν', ὅπως μνημονεύηται ἡ ψυχή μου παρ' αὐτοῖς. Ἔτι ἀφίημι τῇ Μαρίᾳ τῇ ἐγγόνῃ τῆς Γαλατοῦς καὶ θυγατρὸς τῆς Ἀνέζας, εἰς ὥραν ὑπανδρίας αὐτῆς ὑπέρπυρα η', ὅταν σκοδαρισθῶσιν ἐκ τῶν ἐμῶν χρημάτων ἐκ τοῦ συντρόφου μου τοῦ Τζαγῆ Πῶ ἐκ τοῦ τυροῦ ὃν ἐποιήσαμεν ὁμοῦ, ὡς ἐγὼ λέγω. Ἔτι θέλω τὴν βέργαν τὴν χρυσῆν καὶ τὴν βέραν τὴν χρυσῆν, ἅτινα δύο δακτυλίδια ἔχω ἐν ταῖς χερσὶ Λευΐ τοῦ ἰατροῦ διὰ τόσα χρήματα ὅσα φαίνεται γραφῇ κὺρ Πέτρου Πονασέρη, δοθῶσιν αὐτῷ, καὶ τὰ παιδία μου λάβωσιν αὐτὰ καὶ ἔχωσιν ὡς ἴδια αὐτῶν πράγματα· ἔτι ἔχω ἐν ταῖς χερσὶ τοῦ Μωϋσὲ γαμβροῦ τοῦ Ἰουδαίου Ἀτταλιώτου, οὐχὶ τοῦ Μεχέρ, ἀλλὰ τοῦ ἑτέρου, μίαν κούπαν ὀνκιῶν ἕξ, διὰ δύο δουκάτα, ἥντινα λαβέτωσαν αἱ ἐμαὶ θυγατέρες, διδοῦσαι τὰ δύο δουκάτα, ἥτις ἔστω αὐτῶν ἰδία. Ἔτι ὁ Μιχάλης ὁ Κυπριώτης ὁ ἐργαστηριακὸς κρατεῖ μοι μίαν κούπαν ὀνκιῶν ἓξ διὰ ὑπέρπυρα ἐν-

νέα, ὡς ἐγὼ λέγω, ἥτις ἔστω ταῖς ἐμαῖς εἰρημέναις θυγατράσι. Ἔτι κρατεῖ με εἰς ἐνέχυρον ὁ μαγιστρο-Κωνσταντῖνος Λαζαρίνη ὁ χρυσοχοὸς μίαν κούπαν ὀνκιῶν δ' καὶ ἑνὸς ἐξαγίου διὰ μαρτζέλια ις', ἥτις ἔστω τοῖς ἐμοῖς τέκνοις τοῖς ἀνωγεγραμμένοις. Ἔτι ὁ χρυσοχοὸς ὁ Φραγκίσκος Βατάτζης ὁ Χρυσοχοὸς ὀφείλει δώσειν ἐμοὶ μίαν κούπαν ὀνκιῶν ϛ', ἤγουν ἕξ· ἔδωκα γὰρ αὐτῷ πρότερον ὀνκίας ἀργύρου δ', καὶ ἔδωκα αὐτῷ ἓν παπάλιον ἀργυροῦν, καὶ φασούλια μουζούρια β', καὶ δύο κοκκία, μιτζέλια η', ὅπως ποιήσῃ αὐτῷ ὀνκίας ἕξ· καὶ ἐὰν ρεστάρω αὐτῷ τίποτε, δότωσαν αἱ ἐμαὶ θυγατέρες καὶ λαβέτωσαν τὴν κούπαν, ἥτις ἔσται αὐτῶν ἰδία, ὡς ἐγὼ λέγω. Ἔτι ἔχω ἐν ταῖς χερσὶ τῆς κερὰ Ταντίας Κορνάρας ἀρχοντίσσης τοῦ ποτὲ μισὲρ Μικιέλ, μίαν κούπαν ἓξ ὀγγειῶν, καὶ ἓν δακτυλίδιον (ὂν) μετὰ πέτρας πατίστας, ἅτινα ἔδωκα αὐτῇ εἰς παρακαταθήκην, ἅτινα θέλω εἶναι ταῖς ἐμαῖς ρηθείσαις θυγατράσιν. Ἔτι κρατεῖ με ὁ Κύριλλος Γραδενίγος διὰ πλήρωμα ἑνὸς τεσταμέντου διὰ δουκάτον ἕν, μίαν κούπαν ὀνκιῶν γ' ἥμισην, ἅτινα ἔστωσαν ταῖς ἐμαῖς ρηθείσαις θυγατράσι δωσούσαις τὸ δουκάτον. Ἔτι ὁ ρηθεὶς μισὲρ Φραγκίσκος ὁ κομεσάριός μου κρατεῖ μου μίαν κούπαν ὀνκιῶν γ', διὰ τὰ ια' ὑπέρπυρα τοῦ ἐνοικίου· ἐμπασαριζομένων τῶν ζ' ὑπερπύρων, ἃ ἐξωδίασα εἰς ἁλάτιν καὶ οἰκονομικὰ τοῦ τυροῦ καὶ ἄλλας ἐξόδους, ρεστάρω ὑπέρπυρα δ', ἅτινα θέλω ἵνα τὰ εἰρημένα τέκνα δώσωσιν αὐτῷ καὶ λάβωσι τὴν εἰρημένην κούπαν. Ἔτι ὀφείλει μοι ὑπέρπυρα γ' διὰ δύο μουζούρια κοκκία ὁ ρηθεὶς Φραγκίσκος, καὶ σολδία λ' διὰ παπουτζία τῶν αὐτοῦ παίδων, ὡς ἐγὼ λέγω. Ἔτι ὀφείλει μοι λίτρας τυροῦ, ὅπερ ἔλαβε δανεικὸ πρὸς τὸ πληρῶσαι τὴν αὐτοῦ δέτζιμαν, λίτρας ὁπωσοῦν εἶναι περίπου, λίτρας ρν'. Ἔτι κρατεῖ με ὁ μαγιστρο-Πατίστας ὁ χρυσοχοὸς ἓν δακτυλίδιον χρυσοῦν· ὀφείλω αὐτῷ δώσαντί μοι τὸ δακτυλίδιον, τὸ δημιουργικὸν εἰς τὸ καμωτικὸν αὐτοῦ, καὶ καράτα ὀκτὼ χρυ-

σίον μόνον τῆς φυρασίας· ἐπάνω εἰς. τὴν φυρασίαν καὶ εἰς τὸ χαμωτικὸν ἔδωκα αὐτῷ ἓν πινάκιον ροβίνθια καὶ ἓν πινάκιον φασούλια, τὰ ροβίθια πρὸς ὑπέρπυρον τὸ μουζούρη, καὶ τὰ φασούλια πρὸς σολδία μή· ἐχρεώστει μοι πρότερον σολδία ιγ΄. Ἔτι ὁ μαγιστρο-Κόλας ὁ χρυσοχοὸς ὁ Κατελάνος κρατεῖ μοι μαρτζέλια ἓξ διὰ νὰ μοὶ φορνίρῃ μίαν καρναρόλαν· ἔτι ὀφείλει μοι ἀκανφόρτε ὀνκίας ἕξ. Ὁ κὺρ Νικόλαος Κουρίνος τοῦ ποτὲ μισὲρ Λαύρου ἓν μαστραπὴ ἀργυροῦν β΄ λιτρῶν καὶ ἐξαγίων β΄· ἔπεμψέ μοι οἶνον μοῦστον διὰ μερτικὸν τοῦ πληρώματος αὐτοῦ οὐκ οἶδα πόσα. Χρεωστεῖ μοι ὁ Τριβιζάνος de Σαντρῆς ἐκ τῆς Περδαμούσας τὰ χρήματα τῆς τιμῆς τῶν ε΄ βουτζίων οἴνου, ἃ ἔδωκα αὐτῷ κομισιόνε εἰς Βενετίαν, οἵτινες οἶνοι ἐπωλοῦντο ἐν Βενετίᾳ, ὡς ἤκουσα, μία χάρτα εἰς τὸ δουκάτον· ἐξ οὗ οὐδὲν ἔλαβον, ἔπεμψέ μοι ἐκ Βενετίας ὁ ἀδελφὸς αὐτοῦ ὁ Τζάνες πανίον παγονάτζον πράτζα ἑπτὰ καὶ ἓν κομμάτιον χρυσὸν διὰ μανίκας, καὶ χρυσίον κλωστὸν οὐκ ἐνθυμοῦμαι μίαν ὀγγίαν ἢ δύο, ἅτινα καὶ λογιζέστωσαν καὶ ἐμπαζέστωσαν ὅπου ἂν ἐκεῖνοι θελήσωσι. Ἔτι κατ᾽ ἐμέ, ἐπικαλούμενόν μοι τὸν θεὸν μάρτυρα, ὅτι ὁ Τζάνες de Sandris ὀφείλει μοι δουκάτα ιη΄, ἅτινα ἔδωκα αὐτῷ δανεικὰ δίς, ι΄ καὶ η΄, περὶ ὧν ἐδιεφερόμεθα τὸ παρεληλυθός· τώρα λέγω ἔτι ἐνώπιον τοῦ ἀλαθήτου θεοῦ, ὅτι ἀληθῶς χρεωστεῖ μοι ἀκόμη τὰ εἰρημένα δουκάτα ιη΄. Ἔτι ἔχω δύο προύσια εἰς ἐνέχυρον διὰ τὰ φάρμακα ἐν τῷ ἐργαστηρίῳ τοῦ κὺρ Στεφάνου Βιβόντα. Ταῦτα πάντα μοὶ ὀφείλεται παρὰ τῶν εἰρημένων ἐμοῦ ὀφειλετῶν τὸν εἰρημένον τρόπον ὡς ἐγὼ λέγω. Ταῦτά τε οὖν καὶ ὅσα ἄλλα εὑρεθήσεται ὀφειλόμενα ἐμοὶ ἐγγράφως ἢ ἀγράφως, πρὸς τούτοις εἴ τι ἄλλο ἐμόν, κινούμενον ἢ ἀκίνητον, ἤγουν ἀμπέλους, οἰκίας, περιβόληα, καὶ εἴ τι ἄλλο μένει ἐμὲ πατρόθεν ἢ μητρόθεν ἢ ἄλλως τως ἐν ὁποιωδήποτε τρόπῳ, ἀφίημι ταῦτα πάντα ταῖς ἐμαῖς εἰρημέναις θυγατράσι, ἤτοι τῇ Μαρίᾳ

καὶ Ἑλένῃ, ἐπίσης καὶ ὁμοίως, συμπεριλαμβανομένης καὶ τῆς ὑποσχέσεως ἣν ὑπεσχέθην τῇ ἐμῇ θυγατρὶ τῇ Μαρίᾳ, ἐν τῷ ἀριθμῷ καὶ ἐν τῇ σούμᾳ ἁπάντων τῶν ἐμῶν εἰρημένων πραγμάτων ἢ κτημάτων, ὅπως ἑκάστη αὐτῶν ἔχῃ τὸ ἴσον ὁμοίως καὶ ἐπίσης. Πρὸ τούτοις ἀφίημι αὐταῖς πρὸ πάντων καὶ τὴν εὐχήν μου. Καὶ αὗται ὦσιν κεκρατημέναι μνημονεύειν τῆς ψυχῆς μου κατὰ τὴν συνήθειαν τῆς ἐκκλησίας τῶν Γραικῶν, ἤτοι τριήμερα, ἐννεήμερα, τεσσαρακονταήμερα, τριμηνιαῖα, ἑξαμηνιαῖα καὶ χρονιαῖα, καὶ συναπαντήματα καθ' ἕκαστον χρόνον μέχρι τῆς ζωῆς αὐτῶν. Ἔτι βουλόμενος ταφῆναι ἐν τῷ χῷ τοῦ Μεσαμπελίου, (ἀφίημι) ὑπέρπυρα κ' διὰ τὴν ψυχήν μου ταῖς καλογραίαις. Ἔτι ὀφείλει μοι ὁ κὺρ Μανόλης Πάτερος βέργαν χρυσῆν ἐξαγίων ϛ', ἢ περίπου, διὰ δουκάτα δ', ἔλαβε διὰ ὄνομά μου ἀπὸ τοῦ Τζὰν Στόμπου δουκάτα ε', καὶ ἐγὼ ἔδωκα αὐτῷ ὑπέρπυρα δ' καὶ ἓν μαρτζέλι, ἅτινα εἰ καὶ εἰσὶ πλέον τοῦ δανείσματος, ἐπεὶ ἔλαβον παρ' αὐτοῦ πρότερον μουζούρια ζ' σίτου πρὸς ὑπέρπυρον, ὡς ἐγὼ λέγω, ὅμως ἀφίημι αὐτὸν εἰς τὴν προαίρεσιν αὐτοῦ, ἵνα ποιήσῃ λογαριασμὸν μετὰ τῶν κομεσαρίων μου· ἔτι κρατεῖ μου δύο τώλας καινὰς ταλπεδόνας· ἔτι σακκία δ' καναβατζίνα καινά· ἓν ποκάμισον γυναικεῖον χωρὶς μανίκια καὶ ποῦστον· καὶ ἓν ζεῦγος μανικίων καμωμένων λευκῶν γυναικείων· ἔτι τὸ κέρδος τῆς συντροφίας ὅλου τοῦ χρόνου ἔστιν ἐν ταῖς χερσὶν αὐτοῦ καὶ οὔπω ἐποιήσαμεν λογαριασμὸν μετὰ τοῦ εἰρημένου Πατάρου. Ἔτι ὀφείλει μοι ὁ Μιχάλης Ξυλοκέρατος ἐκ τῶν Πρίνσων ὑπέρπυρα γ' καὶ σολδία ιγ', ὅπως μοὶ δώσῃ σίτον. Ἔδωκα τῷ Κωνσταντῇ Γαρίδῃ ἀπὸ τῆς Κῶ, ὅστις ἔλαβε τὴν ἀνεψιὰν τοῦ Χαλασμένου μύστατα οἴνου χωρὶς βουτζίων σ', πρὸς ὑπέρπυρα π' τὰ ρ', ὥστε ὀφείλει μοι ὑπέρπυρα ρξ'· ἐκεῖνος δὲ ἔδωκέν μοι δουκάτα β' ἥμισυ, ὡς ἐγὼ λέγω. Ἐὰν δὲ ἡ ἑτέρα τῶν ἐμῶν θυγατέρων ἀποθάνῃ τῆς ἑτέρας ζώσης, ἵνα ἔχῃ ἄδειαν ἀφιέναι τὸ

μέρος αὐτῆς ὅπου ἂν αὐτῇ φαίνεται. Ἐρωτηθεὶς εἰ βούλεται εἰπεῖν ἢ ἀφιέναι τι ἕτερον παρὰ τὰ εἰρημένα, ἀπεκρίθη ὅτι οὔ. Ἔτι ἀφίημι τούτῳ τῷ νοταρίῳ δουκάτον ἕν, καὶ ταύτην τὴν ἐμὴν διαθήκην βούλομαι εἶναι βεβαίαν καὶ ἀμετακίνητον παρακληθεῖσαν ἐνώπιον τῶν ὑπογεγραμμένων μαρτύρων.

Ἐγὼ Ἰωάννης ὁ Βελόνα μάρτυς εἰμί. Ἐγὼ Μιχαὴλ Κούρης υἱὸς ποτέ.....

---

10. 1499 μαΐου 7, δωρητήριον Γραδενίγου.

Τῇ ζ' τοῦ μαΐου ἔτει ͵αυϟθ'. Ἐγώ τε ὁ Τζανῆς Γραδενίγος καὶ Φραγγισκίνα ἡ αὐτοῦ ἀδελφή, παῖδες τοῦ ποτὲ κὺρ Νικολέτου Γραδενίγου, οἰκοῦντες ἐν Χάνδακι νήσου Κρήτης, γινώσκοντες καὶ γνωρίζοντες πολλὰς εὐεργεσίας παρὰ σοῦ τοῦ κὺρ Τζανῆ Πέτου, υἱοῦ τοῦ ποτὲ μισὲρ Λορέντζου, ἤγουν τὴν καθ' ἡμέραν τροφὴν ἣν ἔχομεν παρὰ σοῦ, ἧς χωρὶς ἀδύνατον ἡμᾶς ζῆν κἂν ἡμέραν μίαν, ὡς βεβλαμμένος ὁ ἕτερος ἡμῶν ὁ κὺρ Τζανῆς καὶ ἀνενέργητος, ἔτι δὲ καὶ διὰ τὴν συγγένειαν ἥτις μεταξὺ ἡμῶν ἐστίν· ἔτι δὲ καὶ δι' ἄλλας θεραπείας καὶ κουφισμοὺς οὓς συνοίδαμέν σοι συνιστῶντι καὶ σώζοντι τὴν ἡμετέραν ζωήν· καὶ διὰ τοῦτο βουλόμενοι ἐκφυγεῖν τὰ τῆς ἀχαριστίας ἐγκλήματα, μὴ τοῖς εὐεργέταις εἰδότες καὶ χάριν καὶ ἀντιδιδόντες τὸ δυνατὸν ἡμῖν· πρὸς τούτοις ἐγὼ ἡ ῥηθεῖσα Φραγγισκίνα κατοικῶ ἐν τῇ οἰκίᾳ σοῦ τοῦ ῥηθέντος κὺρ Τζανῆ Πέτου, μετὰ τὸν θάνατον τοῦ ἡμετέρου ἀδελφοῦ Κυρίλλου, ἔχουσα καὶ τὴν ἀναγκαίαν τροφὴν παρὰ σοῦ καὶ τὸ ἔνδυμα· θέλοντες οὖν ἀμφότεροι ἀποδιῶξαι τὴν τῆς ἀχαριστίας κατηγορίαν, ὡς εἴρηται, οἰκείᾳ γνώμῃ καὶ θελήματι οἰκείῳ, θέλομεν ἀπὸ τῆς σήμερον ὅπερ σὺ ὁ ῥηθεὶς κὺρ Τζανῆς Πέτος ἔχεις καὶ κτᾶσαι καὶ ποσεδέρεις, τόν τε μαγατζὲν ὅστις ἐστὶν

ἐμοῦ τοῦ ρηθέντος Τζανῆ Γραδενίγου, κείμενον ὄπισθεν τῆς ἡμετέρας οἰκίας ἣν τὸ παρὸν οἰκοῦμεν, καὶ τὸ ἡμέτερον μέρος τῆς ρηθείσης ἡμετέρας οἰκίας, ἣν σήμερον οἰκῶ ἐγὼ ὁ ρηθεὶς Τζανῆς Γραδενίγος, καὶ δωρούμεθά σοι ὁμοίως τήν τε χρῆσιν αὐτῆς καὶ αὐτὴν τὴν οἰκίαν καὶ τὸ φούντιον αὐτῆς ὁμοίως καὶ τοῦ ρηθέντος μαγατζένου· καὶ εἴ τι ἄλλο πρᾶγμα ἀναμένει ἡμᾶς κινούμενόν τε καὶ ἀκίνητον, δωρούμεθά σοι, ὡς κύριοι ἀμφότεροι τῶν ρηθέντων κτημάτων· καὶ διδόαμέν σοι πᾶσαν τὴν ἐξουσίαν ἣν ἔχομεν κατ' αὐτῶν ὥς τε σὰ δύνασθαι αὐτὰ δωρήσασθαι, πωλῆσαι, προικίσαι καὶ διὰ τὴν ψυχήν σου ἀφιέναι, καὶ εἴ τι ἄλλο ἔργον τῆς δεσποτείας ἐστὶν εἰς αὐτὰ ποιῆσαι, ὡς ἴδια σὰ πράγματα, πλὴν ὑπερπύρων τ'· ἐγὼ γὰρ ὁ ρηθεὶς Γραδενίγος ἐξαιροῦμαι καὶ ρεσαλβάρω ὑπέρπυρα τ' τῆς κοντονατζιόνος, ἃ ἔλαβεν καὶ ἐζουρπάλισεν ὁ ποτὲ Κυρίλλος ὁ ἀδελφός μου, ὡς ὁ ἐμὸς λόγος· κἀγὼ ζητῶ αὐτὰ παρὰ τῶν αὐτοῦ πραγμάτων καὶ κοντετζιόνος· τὰ λοιπὰ δὲ πάντα δωροῦμαί σοι τῷ ρηθέντι Πέτῳ ὡς εἴρηται. Καὶ ταύτην τὴν δωρεὰν καὶ τὴν δονατζιὸν ποιούμεθά σοι ἡμεῖς οἱ ρηθέντες ἀδελφοὶ ὡς ἡμετέρῳ εὐεργέτῃ καὶ συγγενεῖ, ἀποδόντες σοι ὥσπερ χρέος τὰς εἰς ἡμᾶς σου εὐεργεσίας καὶ χάριτας. Ἐγὼ δὲ ὁ ρηθεὶς Τζανῆς Πέτος ἐπαγγέλλομαι ὑμῖν, διδόναι ὑμῖν τὴν καθημερινὴν τροφὴν καὶ εἴ τινος ἄλλου χρεία ὑμῖν ἔσται μέχρι ὅλης τῆς ὑμετέρας ζωῆς, καὶ μετὰ τὸν ὑμέτερον θάνατον ποιῆσαι τὰ μνημόσυνα τῶν ὑμετέρων ψυχῶν κατὰ τὴν τάξιν τῆς τῶν Γραικῶν ἐκκλησίας, ἤγουν τριήμερα, ἐννεήμερα καὶ τὰ λοιπά, κατὰ τὸ ἔθος τῆς ἀνατολικῆς ἐκκλησίας, ὡς εἴρηται. Ἔτι ὑπισχνοῦμαι δώσειν τῇ Καλῇ τῇ οὔσῃ ποτὲ παιδίσκῃ σοῦ τοῦ ρηθέντος κὺρ Τζανῆ Γραδενίγου ὑπέρπυρα ρ', μετὰ τὸν σὸν θάνατον. Ἔτι δώσουν, ἐν ᾗ ἐκκλησίᾳ ταφήσῃ, ὑπέρπυρα ι' κατ' ἔτος μέχρι χρόνων δέκα διὰ τὴν ψυχήν σου· ἔτι καὶ ἓν τεσσαρακονθήμερον καὶ ἓν σαββατικόν, ἕνεκα τῆς

ψυχῆς σοῦ τοῦ ῥηθέντος κὺρ Τζανῆ Γραδενίγου, καὶ ὅσοι ἔξοδοι συμβήσονται διὰ τὴν ταφήν σου. Ἡμεῖς δὲ οἱ ῥηθέντες Τζανῆς καὶ Φρατζισκίνα ἀδελφοὶ ἀποβάλλομεν καὶ καταλύομεν πᾶσαν γραφὴν ἄλλην, εἴτε διαθήκης, εἴτε ἄλλο ὁποιοῦν εἶδος γραφῆς πρὸ ταύτης παρ' ἡμῶν πεποιημένον. Καὶ ταῦτα βεβαιοῦμεν ἐνώπιον τούτου τοῦ νοταρίου καὶ τῶν ὑπογεγραμμένων μαρτύρων παρακληθέντων, Λορέντζου Σεγρέδου υἱοῦ τοῦ ποτὲ κὺρ Φραγγίου καὶ κὺρ Ἰωάννου Δουστουνίου υἱοῦ τοῦ ποτὲ κῦρ Γεωργίου.

Ἐγὼ Μανουὴλ Γρηγορόπουλος ἐξεῖλον μετὰ τοῦ προστάγματος τῆς ἐκλαμπροτάτης ἡμῶν αὐθεντίας.

---

11. 1500 μαΐου 22, διαθήκη Ζαμπέτας Μιτώνενας.

Τῇ κβ' τοῦ μαΐου αφ'. Ἐγὼ Ζαμπέτα Μιτώνενα χήρα γυνὴ τοῦ ποτὲ μισὲρ Ἀνδρ[έ]α οἰκοῦσα ἐν Χάνδακι νήσου Κρήτης, φοβουμένη ἵνα μὴ προαρπαγῶ ὑπὸ τοῦ θανάτου, ἢ ὑπό τινος πάθους ἐνοχλοῦντος τῇ διανοίᾳ ἐμποδισθῶ διαθεῖναι περὶ τῶν ι' ὑπερπύρων ἅτινα λαμβάνω ἐκ τοῦ μοναστηρίου τῶν ἁγίων Μ' κατ' ἔτος, κατερχόμενα εἰς ἐμὲ ἐκ τοῦ ποτὲ μισὲρ Στεφάνου Μιγιδιώτου, καθὼς φαίνεται διαθήκη τοῦ εἰρημένου μου πατρὸς γραφεῖσα χειρὶ τοῦ κὺρ Κυρίλλου Γραδενίγου, ἐκάλεσα Ἀντώνιον Δαμιλᾶ νοτάριον, ὅπως τῇ ἐκείνου γραφῇ διαθήσωμαι περὶ τῶν εἰρημένων ι' ὑπερπύρων. Θέλω οὖν ὅπως ὁ εὑρισκόμενος ἡγούμενος ἐν τῷ μοναστηρίῳ τῶν ἁγίων Μ' ἢ ἐπίτροπος καὶ κομετάριος καὶ ἐπιμελητὴς ταύτης τῆς ἐμῆς διαθήκης. Θέλω οὖν ὅπως μετὰ τὸν ἐμὸν θάνατον τὰ εἰρημένα ὑπέρπυρα ι' λαμβάνῃ ὁ εὑρεθησόμενος ἡγούμενος τοῦ ῥηθέντος μοναστηρίου μέχρι τῆς αὐτοῦ ζωῆς, καὶ πάλιν μετὰ τὸν αὐ-

τοῦ θάνατον ὁ διάδοχος αὐτοῦ καὶ οὕτω καθεξῆς ἐς ἀεί, ἀρχόμενοι ἀπὸ τοῦ παρόντος ἡγουμένου κὺρ Ἰωσὴφ πατρὸς τοῦ Δαμουλῆ, εἰ ἔσται ζῶν μετὰ τὸν ἐμὸν θάνατον, ἢ ὁ αὐτοῦ διάδοχος· καὶ οὗτος ἢ οὗτοι οἱ μετ' αὐτὸν ἡγούμενοι ὦσι περιδεδεμένοι καὶ ὀμπλιγάδοι ἰφουρνεῖν καὶ ποιεῖν ἓν σαββατιακὸν διὰ τὴν ψυχήν μου καθ' ἕκαστον ἔτος διὰ τὰ εἰρημένα ι' ὑπέρπυρα ἀϊδίως ὡς εἴρηται· καὶ ἵνα μὴ δύνηταί τις ἐνοχλῆσαι τὸν ρηθέντα ἡγούμενον διὰ τὰ εἰρημένα ὑπέρπυρα ι' ἅτινα ἀφίημι αὐτῷ μετὰ τὸν θάνατόν μου. Μάρτυρες παρακεκλημένοι κὺρ Ἰάκουμος Ρουντζέρης υἱὸς τοῦ ποτὲ κὺρ Ἀνδρέου καὶ Γρηγόριος ὁ ἀδελφὸς αὐτοῦ, καὶ ὁ Μιχάλης Ζαχαράτος, παρούσης καὶ Τέντας καὶ τῆς κερὰ Βαρβάρας τῆς θυγατρὸς αὐτῆς εἰς τὰ ἄνω γεγραμμένα καὶ συναινούσης αὐτῇ.

Ἐγὼ Μιχάλης ὁ Ζαχαράτος παρακληθεὶς μάρτυρας. Ἐγὼ Γιάκουμος Ρουτζέρης παρακληθεὶς μάρτυρας.

---

12. 1500 ἰουλίου 6, διαθήκη Εἰρήνης Σκαράνου.

Ἔτει αφ' μηνὸς ἰουλίου ϛ'. Ἐγὼ Εἰρήνη χήρα γυνὴ τοῦ ποτὲ Βασιλείου Σκαράνου, ἐκ Μεθώνης, τὸ παρὸν δὲ εὑρισκομένη ἐν Χάνδακι νήσου Κρήτης, ἀσθενὴς μὲν τῷ σώματι, ὑγιὴς δὲ τῷ νῷ καὶ ταῖς λοιπαῖς αἰσθήσεσι, βουλομένη διαθέσθαι τὴν ἐμὴν προῖκα, γραφῇ Ἀντωνίου Δαμιλᾶ νοταρίου, κατὰ τὴν ἐμὴν γνώμην καὶ διάθεσιν· ἥτις ἐμὴ προὶξ ἔστιν εἰς μίαν στιγουράδαν καὶ βεβαιωθεῖσαν ἄμπελον κειμένην ἐν Μαντοχώρει ὑπὸ τὴν Πλάκα ἔξω τῆς πόλεως Μεθώνης· ὁμοίως καὶ εἰς τὰς ὅσας ἐλαίαις δένδραις εὑρισκομένη ἔχουσα ἐγγὺς καὶ πέριξ τῆς ρηθείσης ἀμπέλου· ἅτινα ἐδόθησαν ἐμοὶ παρὰ τοῦ ποτὲ Γεωργίου τοῦ πατρός μου εἰς προῖκα· ὁμοίως διατί-

θεμαι καὶ διατάττομαι καὶ τὰ ἄλλα δένδρεα τῶν ἐλαιῶν, ἃ ἔχω λαβοῦσα παρὰ τοῦ ποτὲ εἰρημένου ἀνδρός μου τοῦ Βασιλείου, ὄντα ὑπὸ τὴν ἐπισκοπὴν τοῦ P. Tomathou def.° ἐπισκόπου· ταῦτα οὖν πάντα καὶ τὰ λοιπὰ ὅσα εὑρίσκομαι ἔχουσα, ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ὄντα, ἀφίημι τοῖς ἐμοῖς δυσὶν υἱοῖς, τῷ τε Νικολάῳ καὶ τῷ Μιχάλῃ, ὅπως μερισθῶσι τά τε εἰρημένα πράγματα ἐπίσης καὶ ἴσως· καὶ ὁμοίως πληρῶσι διὰ τὰ εἰρημένα δένδρεα καὶ διὰ τὴν ῥηθεῖσαν ἄμπελον ὑπέρπυρα κε' εἰς τὸ κουμούνιον τῆς λαμπρᾶς αὐθεντείας, καὶ διὰ τὰ δένδρα τῆς ῥηθείσης ἐπισκοπῆς λίτρας ἐλαίου κ' κατ' ἔτος· καὶ ὅπως δώσωσι Νικολάῳ τῷ Σιλβέστρῳ τῷ θετῷ μου υἱῷ ἐκ τῶν δένδρων τῶν ἐμῶν, δένδρεα εἴκοσι, ἕκαστος ι'. Ἔστωσαν δὲ αἱ ἓξ ῥίζαι ἢ ἑπτά, αἵτινές εἰσιν ἐντὸς τῆς ἀμπέλου τῆς θυγατρός μου τῆς Μαργέτας, ἃς ἔλαβεν αὐτὴ παρὰ τοῦ εἰρημένου μου ἀνδρὸς εἰς πάκτος, πληροῦσαι μίαν καὶ ἡμισεῖαν λίτρας ἐλαίου κατ' ἔτος, ὦσι τῷ ἐγγόνῳ μου τῷ Ἰωάννῃ τῷ υἱῷ αὐτῆς τῆς Μαργέτας λεγομένῳ Πλεμμένῳ· τὴν οἰκίαν δὲ ἣν ἔχω ἐκτὸς τῆς ῥηθείσης πόλεως Μεθώνης, ἀφίημι τῇ εἰρημένῃ ἐμῇ θυγατρὶ Μαργέτᾳ διὰ τὴν ψυχήν μου. Τὰ δὲ τέσσαρα κούρβουλα τῶν ἐλαιῶν, ὧν αἱ τρεῖς εἰσὶ παρὰ τῷ πετρολήνῳ ὑπὸ τὸν τόπον τοῦ μισὲρ Πιέρου Μέμου, καὶ τὸ δ' παρὰ τῷ μαγιστρατεῖ, πλησίον τῆς συκῆς, ἀφίημι τῇ Μανέτᾳ Πούγενᾳ γυναικὶ τοῦ Πούα, καὶ τὴν ἡμισεῖαν συκίαν καὶ τὸ ἥμισυ τοῦ χωραφίου, καὶ τὸ χωράφιον τὸ κείμενον πλησίον τοῦ ἁγίου Ἰωάννου ἀφίημι τῷ εἰρημένῳ Νικολάῳ τῷ Σιλβέστρῳ· τὰ λοιπὰ δὲ πάντα κινούμενα καὶ ἀκίνητα ἀφίημι τοῖς εἰρημένοις δύο μου υἱοῖς, σὺν τούτῳ τῷ τρόπῳ· ἵνα μὴ δύνωνται ἐνοχλῆσαι ἢ πειρᾶσαι τὴν εἰρημένην μου θυγατέρα τὴν Μαργέταν ἢ τὸν αὐτῆς υἱὸν τὸν Ἰωάννην τὸν Πλεμμένον εἰς ἐκεῖνα ὅσα ἔλαβον αὐτοὶ παρὰ τοῦ ποτέ μου ἀνδρὸς καὶ νῦν παρ' ἐμοῦ διὰ ταύτης τῆς παρούσης διαθήκης· ὁμοίως ἵνα μὴ δυνῶνται πειρᾶσαι αὐτὴν διὰ

τὴν ἄμπελον, ἣν ἔλαβεν ἡ θυγάτηρ μου ἡ Μαργέτα παρὰ τοῦ Νικολάου Καράνου εἰς προῖκα αὐτῆς διὰ δουκάτα η΄· ἀλλοτρόπως θέλω ἵνα ὦσιν οἱ ῥηθέντες μου υἱοὶ Νικόλαος καὶ Μιχαῆλος ἐστερημένοι καὶ πριβάδοι ἐξ ἐκείνων ἃ ἀφίημι αὐτοῖς, ἐχέτω δὲ μόνον ἕκαστος αὐτῶν ἀπὸ τῶν ἐμῶν ἀγαθῶν ὑπέρπυρα ι΄ Μεθωναῖα. Ἔτι θέλω ἐάν τις, ἢ ὁ ἐπίσκοπος ἢ ἄλλος ἀντ' αὐτοῦ θελήσει στερῆσαι ἢ λαβεῖν τινὰ ἐκ τῶν δένδρων τῆς ἐπισκοπῆς, ἅτινα δένδρα ἔδωκεν ὁ ῥηθεὶς Βασίλειος ὁ ποτὲ πατὴρ αὐτῆς τῆς Μαργέτας καὶ ἐμὸς ἀνὴρ διὰ προῖκα αὐτῆς, θέλω ἵνα αὕτη δύνηται λαβεῖν ἄλλα τόσα ἐκ τῶν ῥηθέντων ἐμῶν δένδρων πρὸς ἀναπλήρωσιν τῆς ζημίας ἣν ζημιωθήσεται αὕτη εἰς τὴν δοθεῖσαν αὐτῆς προῖκα. Καὶ ταῦτα πάντα ἀφίημι αὐτοῖς τοῖς ἄνω γεγραμμένοις μετὰ τὸν ἐμὸν θάνατον. Ἔτι ἀφίημι ἐπιτρόπους τοὺς ἐμοὺς ῥηθέντας υἱοὺς Νικόλαον καὶ Μιχαῆλον ταύτης τῆς ἐμῆς διαθήκης. Ἔτι ἀφίημι αὐτοῖς καὶ τῇ ῥηθείσῃ Μαργέτᾳ τῇ ἐμῇ θυγατρὶ τὴν εὐχήν μου. Ἔτι ἀφίημι ὅπως ὦσι κεκρατημένοι παρέχειν κατ' ἔτος εἰς τὴν ἁγίαν Αἰκατερίναν τῶν Σιναΐτῶν οἱ ῥηθέντες ἐμοὶ κομεσάριοι λίτρον ἐλαίου κατ' ἔτος, ὅπου βούλομαι ταφῆναι, διὰ τὴν ψυχήν μου. Ἐρωτηθεῖσα εἰ βούλεται εἰπεῖν ἄλλο τι, ἢ ἀφιέναι τινὶ ἑτέρῳ τὶ ἄλλο, ἀπεκρίθη, ὅτι οὐ βούλομαι. Καὶ ταύτην τὴν ἐμὴν διαθήκην ἐγὼ ἡ ῥηθεῖσα Εἰρήνη παρακαλοῦσα βούλομαι εἶναι βεβαίαν καὶ ἀκίνητον, παρακληθεῖσαν ἐνώπιον τούτου τοῦ νοταρίου καὶ τῶν ὑπογεγραμμένων μαρτύρων.

Ἐγὼ Ἰωάννης Μηνᾶς μάρτυς εἰς τὰ ἄνω γεγραμμένα.

Ἐγὼ Ἀγγελῆς Μηνᾶς μάρτυς.

Καὶ Βίκτωρ Καλαμαρᾶς μάρτυς, καὶ κερὰ Ἀνδριόλα ἡ γυνὴ αὐτοῦ· οὐχ ὑπέγραψε δὲ διὰ τὸ μὴ εἰδέναι γράφειν αὐτόν.

13. 1500 ἰουλίου 26, διαθήκη πρωτοπαπᾶ Ἀνδρέου Δαμοροῦ.

Ἔτει ἀφ' ἰνδικτιῶνος γ', μηνὸς ἰουλίου κϛ'. Ἐγὼ παπᾶς Ἀνδρέας Δαμορὸς πρωτοπαπᾶς Χάνδακος Κρήτης, οἰκῶν καὶ εὑρισκόμενος τὸ παρὸν ἐν Χάνδακι νήσου Κρήτης, ὑγιὴς μὲν τὸν νοῦν καὶ τὰς λοιπὰς αἰσθήσεις, ἀσθενὴς δὲ τὸ σῶμα, βουλόμενος διαθέσθαι πάντα ὅσα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν εὑρίσκονται κινούμενα καὶ ἀκίνητα, ἐποίησα καλέσαι πρός με Ἀντώνιον Δαμιλᾶ νοτάριον βασιλικόν, ὅπως τῇ ἐκείνου γραφῇ διαθήσωμαι αὐτὰ κατὰ τὴν ἐμὴν βουλὴν καὶ γνώμην. Καὶ πρῶτον ἁπάντων βούλομαι εἶναι ἐμὸν ἐπιμελητὴν καὶ κομεσάριον ταύτης τῆς ἐμῆς διαθήκης τὸν μισὲρ Τζουάνε Κορνάρον τὸν σύντεκνόν μου καὶ τὸν εὐλαβέστατον ἱεροδιάκονον Ἀριστόβουλον Ἀποστολίδην, καὶ τὴν ἐμὴν παπαδίαν, καὶ Μιχαὴλ τὸν υἱόν μου. Ἔτι ἀφίημι τὴν παλαιάν μου σόκαν τῷ παπᾷ Μανούσῳ τῷ θείῳ μου· ἔτι ἀφίημι τῷ εἰρημένῳ Μιχαήλῳ τῷ υἱῷ μου τὴν ἐμὴν ἄμπελον τὴν μοσχάτον κειμένην ἐν Προύσαις ὑπὸ τὸν τόπον τοῦ Ξένου, καὶ σύγκαρπον. Ἔτι ἀφίημι τῷ παπᾷ Νικολάῳ τῷ υἱῷ μου τὴν ἄλλην ἄμπελον τὴν λογάδα, κειμένην ἐν Προύσαις ὑπὸ τὸν τόπον τοῦ μισὲρ Δομενέγου Βενέρου, διὰ ἓν σαββατικόν. Ἔτι τῷ ἐμῷ υἱῷ τῷ Φραγκίσκῳ ὑπέρπυρα ι', διὰ νὰ ἀγοράσῃ βιβλίον τῆς ἐκκλησίας. Ὀφείλω τῷ ῥηθέντι μισὲρ Τζουάνε Κορνέρῳ ὡς δάνεια ὑπέρπυρα ρ', δι' ἃ κρατεῖ μοι μίαν πολίτζαν δουκάτων ιη', ἥν τινα ὅταν σωδάρῃ, λαμβανέτω αὐτὸς τὰ ῥηθέντα ὑπέρπυρα ρ', καὶ τὰ λοιπὰ τῆς ῥηθείσης πολίτζας δότω εἰς τὴν ἐμὴν οἰκίαν. Ἔτι ἀφίημι τοῖς ῥηθεῖσι δύο μου υἱοῖς, ἤγουν τῷ παπᾷ Νικολάῳ καὶ τῷ παπᾷ Μιχάλῃ ὅπως μερίσωνται τὰ χρήματα τοῦ Τζουδεγάνου τῆς ποτὲ Μινιζίνας τῆς ἀδελφῆς μου, ἃ ὀφείλω σωδάρειν ὡς ὁ ἐμὸς λογαριασμὸς ὑπέρ-

πυρα υ' ἢ περίπου, καὶ ἐπίσης μερισάσθωσαν. Ἔτι ὀφείλω τῷ μισὲρ Ἰακούμῳ Δαδόλῳ οἰκοῦντι παρὰ τῇ ἁγίᾳ Φωτεινῇ ὑπέρπυρα ν' ἢ ξ' ἢ περίπου, ᾧτινι δοθήτω μία πολίτζα ἐμὴ πρὸς ἀποπλήρωσιν τῶν ὀφειλομένων αὐτῷ παρ' ἐμοῦ χρημάτων. Ἔτι ἀφίημι τῷ ῥηθέντι ἱεροδιακόνῳ τὴν βίβλον τοῦ θείου Χρυσοστόμου τὴν εἰς τὰς ἐπιστολὰς τοῦ ἁγίου Παύλου, μέχρι τῆς αὐτοῦ ζωῆς, μετὰ δὲ τὸν αὐτοῦ θάνατον ἐπιστραφήτω εἰς τοὺς ῥηθέντας μου παῖδας. Τὰ λοιπὰ πάντα κινούμενα καὶ ἀκίνητα ὅσα εὑρίσκομαι ἔχων καὶ ὅσα μένουσιν ἐμέ, ἀφίημι τῇ Ἄννῃ τῇ ῥηθείσῃ παπαδίᾳ, μετὰ τὸν ἐμὸν θάνατον. Ἔτι θέλω ἵνα τὰ χρήματα ἃ ὀφείλει ὁ υἱὸς τοῦ ποτὲ Γεωργίου Πελεγρῆ σωδαρισθῶσι καὶ πεμφθῶσι τῷ μισὲρ Βενεδίκτῳ δὰ Πεζάρῳ εἰς Βενετίαν. Ἔτι ἀφίημι τούτῳ τῷ νοταρίῳ δουκάτον ἓν διὰ τὸν αὐτοῦ κόπον. Καὶ ταύτην τὴν ἐμὴν διαθήκην βεβαιῶ καὶ βούλομαι ἀμετακίνητον εἶναι παρακληθεῖσαν ἐνώπιον τούτου τοῦ νοταρίου καὶ τῶν (ὑπογεγραμμένων) μαρτύρων.

Ἐγὼ Ἀνδρέας ὁ Παβίας μάρτυς εἰμὶν ἰδιὰ τὰ ἄνω γεγραμμένα.

Ἐγὼ Μανουὴλ ὁ Κλάδος μάρτυς εἰμὶν ἰδιὰ τὰ ἄνω γεγραμμένα.

Ἐγὼ Φιλίππος ὁ Ραδινὸς μαρτυρῶ τὰ ἄνωθεν.

Μάρκος Ρωμᾶς υἱὸς τοῦ παπᾶ Μιχάλη οὐκ ἔγραψε, διὰ τὸ μὴ εἰδέναι γράφειν.

Τῇ α' τοῦ σεπτεμβρίου αφγ' ἐγὼ ὁ ῥηθεὶς παπᾶς Ἀνδρέας βεβαιῶ τὴν παροῦσαν διαθήκην, πλὴν στερῶ τὸν εἰρημένον Ἀριστόβουλον Ἀποστολίδην τῆς ἐπιμελείας ταύτης τῆς ἐμῆς διαθήκης καὶ τῆς χρήσεως τῆς βίβλου τοῦ θείου Χρυσοστόμου τῆς εἰς τὰς ἐπιστολὰς τοῦ θείου Παύλου ἐξηγήσεως· ἐπὶ μάρτυρι κὺρ Γεωργίῳ Λόγγῳ καὶ κὺρ Ἀντωνίῳ Πόρκῳ.

14. 1500 νοεμβρίου 24, διαθήκη Ἰωάννου Κοστομίρη.

Ἔτει αφ΄ μηνὸς νοεμβρίου κδ΄. Ἐγὼ Ἰωάννης Κοστομίρης ὁ καὶ πρωτοψάλτης οἰκῶν ἐν προπυλαίοις Χάνδακος Κρήτης, ἀσθενὴς μὲν τῷ σώματι, ὑγιὴς δὲ τῷ νῷ καὶ ταῖς λοιπαῖς αἰσθήσεσι, βουλόμενος διαθέσθαι τὰ ἐμὰ πράγματα κατὰ τὴν ἐμὴν γνώμην καὶ βούλησιν, ἐποίησα καλέσαι πρός με Ἀντώνιον Δαμιλᾶ νοτάριον, ὅπως τῇ ἐκείνου γραφῇ ἀφήσω καὶ τάξω πάντα ὅσα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ἐστίν, κατὰ τὴν ἐμὴν ὄρεξιν καὶ βούλησιν. Καὶ πρῶτον ἁπάντων ἀφίημι ἐπιμελητὰς καὶ κομεσαρίους ταύτης τῆς ἐμῆς διαθήκης τὸν αἰδέσιμον ἱερέα καὶ πρωτοπαπᾶ ταύτης τῆς πόλεως Χάνδακος Κρήτης κὺρ Ἀνδρέα Δομιρό, καὶ Στελιανὴν τὴν ἐμὴν γυναῖκα, ὅπως ἀμφότεροι ἐπιμελήσωνται καὶ ἐνεργήσωσι καθὼς ἐγὼ ὑποδιατάττομαι. Ἔτι ἀφίημι τῷ Ἰπῇ τῷ ἐμῷ ἐγγόνῳ ὑπέρπυρα ε΄ διὰ τὴν ψυχήν μου· ἔτι τῇ ἀνεψιᾷ μου τῇ Μαρίᾳ τῇ Ραγουζώνενᾳ ὑπέρπυρα ιε΄ διὰ τὴν ψυχήν μου· τὰ λοιπά, εἴτε ἄμπελοι εἴτε οἰκίαι, εἴτε χρήματα, εἴτε ἄλλα πράγματα ὅσα εὑρίσκομαι ἔχων, ὅσα ρεσταρήσωσι καὶ ὑπόλοιπα ἔσονται μετὰ ψυχικὰ ἃ ποιήσωσιν οἱ ἐμοὶ ῥηθέντες κομεσάριοι μὲ ποιήσωσι λογαριασμόν τινα διὰ τὰς ἐξόδους ὡς ἐκεῖνοι ποιήσουσι διὰ τὴν ψυχήν μου· ἔτι ἀφίημι τῷ ρηθέντι πρωτοπαπᾷ καὶ ἐμῷ κομεσαρίῳ μετὰ τὸν ἐμὸν θάνατον τὴν ἄμπελον κειμένην ἐν Σταυρωμένῳ παρὰ τῷ Γεωφύρῳ ἣν ἠγόρασα τὸ παρεληλυθὸς παρὰ τοῦ παπᾶ Ἰωάννου Κακαβᾶ, καθὰ φαίνεται γραφῇ κὺρ Λεονάρδου Παντολέου νοταρίου, διδόντι ὑπέρπυρα ιε΄ καὶ λαμβάνοντι καὶ τὸ ρέστος τῆς ρηθείσης ἀμπέλου ἐργατῶν ϛ΄· τὰ λοιπὰ ἔστωσαν τῇ ἐμῇ γυναικὶ τῇ ρηθείσῃ Στελιανῇ, ἐν οἷς συμπεριληφθήσεται καὶ ἡ προὶξ αὐτῆς. Ἔτι ἀφίημι ἐν τῇ

Κυρίᾳ τῶν Ἀγγέλων ἐν τεσσαρακονταήμερον, ὅπου βούλομαι ἐνταφιασθῆναι. Τὰ εἰρημένα λάσα ὡς τοῦ ἐγγόνου καὶ τῆς ἀνεψιᾶς μου πληρωθῶσιν ἔκ τε τῶν ὀφειλομένων ἐμοί, ἐκ τῆς ἐσοδίας μου, καὶ τῶν ιε΄ ὑπερπύρων ἅ μοι ὀφείλει ἐκ τοῦ παρεληλυθότος ὁ παπᾶς Ἰωάννης Λούμπινας ἐκ τοῦ Βενεράτου, καὶ τὰ ϛ΄ ὑπέρπυρα ἐκ τοῦ νομίου ἢ ἑτέρωθεν ἐκ τῶν ἐμῶν. Ἐρωτηθεὶς εἰ βούλεται ἀφιέναι τι ἑτέρῳ τινὶ διὰ τὴν ψυχὴν αὑτοῦ, ἀπεκρίθη, ὅτι οὐ βούλεται. Καὶ ταύτην τὴν ἐμὴν διαθήκην βούλομαι ἀκίνητον καὶ ἀμετάθετον εἶναι. Ἰστέον δέ, ὅτι κατὰ τὸν ἐμὸν λόγον ὁ παπᾶς Ἰωάννης Κακαβᾶς ὀφείλει λαβεῖν παρ' ἐμοῦ ὑπέρπυρα ιε΄, κἀκεῖνος ἀποδώσων ἐμοὶ καὶ γυρίσων ἄμπελον ἐργατῶν ϛ΄. Καὶ ταῦτα βεβαιῶ ἐνώπιον τῶν ὑπογεγραμμένων μαρτύρων κὺρ Μάρκος Κυρίνος καὶ Ἀνδρέας ὁ ἀδελφός του καὶ Δημήτριος ἐπιλεγόμενος Δούκας.

Ἐγὼ Δημήτριος λεγόμενος Δούκας μάρτυς εἰμί.

Ἐγὼ Μάρκος Κουρῆς μάρτυς εἰμί.

Ἐγὼ Ἀνδρέας Κουρῆνο μάρτυς εἰμί.

Τῇ ιε΄ τοῦ φεβρουαρίου ἔτει αφα΄ ἐγὼ ὁ ρηθεὶς Ἰωάννης Κοστομίρης θέλω ὅπως ἡ παροῦσα διαθήκη ᾖ ἠφανισμένη καὶ ἀνίσχυρος οὕτω ὥσπερ καὶ μηδέποτε ἐγένετο, συγκαλέσας καὶ μάρτυρας τῆς καταλύσεως ταύτης....

---

15. 1501 ἰανουαρίου 18, διαθήκη Τζανῆ Γραδενίγου (1).

Ἔτει αφα΄ μηνὸς ἰανουαρίου ιη΄. Ἐγὼ Τζανῆς Γραδενίγος υἱὸς τοῦ ποτὲ κὺρ Νικολάου, ἀσθενὴς μὲν τῷ σώματι, ὑγιὴς δὲ τῷ νῷ, βουλόμενος διαθεῖναι πάντα τὰ ἐμά, εἴτε κτήματα

(1) Ἡ διαθήκη αὕτη εὕρηται εἰς διπλοῦν.

ἀκίνητα, εἴτε ἄλλα κινούμενα πράγματα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ὄντα, πρὸ τοῦ ἐμοῦ θανάτου, ἐκάλεσα πρός με Ἀντώνιον Δαμιλᾶ νοτάριον βασιλικόν, ὅπως τῇ αὐτοῦ γραφῇ διαθήσωμαι καὶ διατάξωμαι ταύτην τὴν ἐμὴν τελευταίαν διαθήκην κατ' ἐμὴν γνώμην καὶ βούλησιν. Καὶ πρῶτον ἁπάντων βούλομαι τὴν κερὰ Ζαμπέταν Πιτέναν καὶ τὸν μισὲρ Τζουάνε τὸν υἱὸν αὐτῆς εἶναι ἐπιμελητὰς καὶ κομεσαρίους ταύτης τῆς ἐμῆς διαθήκης· εἶτα θέλω ὅπως πάντα τὰ ἐμὰ πράγματα ὅσα κατέρχονται εἰς ἐμὲ καὶ ἐγγίζουσιν ἐμοὶ πατρόθεν, μητρόθεν καὶ ὅθεν ἄλλοθεν ὁποιῳδήποτε τρόπῳ κινούμενα καὶ ἀκίνητα ὦσι τῇ ἀδελφῇ μου τῇ Φραγγισκίνᾳ μετὰ τὸν ἐμὸν θάνατον. Ἔτι βούλομαι ἐνταφιασθῆναι ἐν τῷ ναῷ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Πέτρου, καὶ ἐνδύσασθαι τὸ σχῆμα τοῦ ἁγίου Δομινίκου, καὶ ὅπως οἱ φράροι τοῦ εἰρημένου μοναστηρίου λάβωσι τὸ ἐνοίκιον τοῦ ἐμοῦ μαγατζένου κειμένου πλησίον τῆς ἐμῆς οἰκίας ἣν σήμερον ἐγὼ οἰκῶ, χρόνον ἕνα, καὶ αὐτοὶ πληρώσωσι τὰ γ΄ ὑπέρπυρα τοῦ ταραδέγου αὐτῆς· θέλω οὖν αὐτοὺς λαβεῖν τὸ ῥηθὲν ἐνοίκιον τοῦ εἰρημένου μαγατζένου διὰ τὸ δύνασθαι αὐτοὺς πληρωθῆναι τὸ σχῆμα καὶ τὸ ἄμπιτον ὅπερ βούλομαι ἐνδυθῆναι τοῦ ἁγίου Δομινίκου. Ἐρωτηθεὶς εἰ βούλεταί τι ἕτερον εἰπεῖν, ἀπεκρίθη, ὅτι οὐ βούλεται εἰπεῖν ἄλλο τι.

Ἔτι κατὰ τὴν κ΄ τοῦ αὐτοῦ μηνὸς καλεσθεὶς δεύτερον οὗτος ὁ νοτάριος παρὰ τοῦ εἰρημένου κὺρ Τζανῆ Γραδενίγου ἤκουσεν αὐτοῦ εἰπόντος, ὅτι βούλεται ὁ ῥηθεὶς κὺρ Τζανῆς ἵνα τὰ εἰρημένα ἅπαντα ἀγαθὰ αὐτοῦ, μετὰ τὸν θάνατον τῆς Φραγγισκίνας τῆς ἀδελφῆς αὐτοῦ, διαδέχηται ὁ ῥηθεὶς κὺρ Τζανῆς ὁ αὐτοῦ κομεσάριος· καὶ μετὰ τὸν αὐτοῦ πάλιν θάνατον, διαδέξωνται αὐτὰ οἱ παῖδες αὐτοῦ μερισάμενοι αὐτὰ ἐπίσης· καὶ ταύτην τὴν ἐμὴν διαθήκην βούλομαι ἀκίνητον καὶ ἀσάλευτον εἶναι, παρακληθεῖσαν ἐνώπιον τοῦ νοταρίου καὶ τῶν ὑπογεγραμμένων μαρτύρων κὺρ Νικολάου Καπέλα καὶ μαγιστρο-Κωνσταντίνου

Βενέρη ράπτου καὶ τοῦ Πέτρου Μοντζενάζου, ἔτι δὲ πρότερον Ἀνδρέου Κυθηριώτου καὶ Μαρίας Λουράνζενας.

Ἐγὼ Μανουὴλ Γρηγορόπουλος νοτάριος βασιλικὸς ἐκτετύπωκα ταύτην.

---

16. 1502 ἀπριλίου 26, διαθήκη Κεράννας Θεοδώρου σέρβου.

Τῇ κϛʹ τοῦ ἀπριλλίου ͵αφβʹ. Ἐγὼ Κεράννα γυνὴ τοῦ Θεοδώρου σέρβου Τριανταφύλλου Κρουβετζουρᾶ, ἀσθενὴς μὲν τῷ σώματι, ὑγιὴς δὲ τῷ νοῒ καὶ ταῖς λοιπαῖς αἰσθήσεσι, βουλομένη πρὸ τοῦ ἐμοῦ θανάτου διαθεῖναι πάντα ὅσα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ἐστίν, εἴτε προίξ, εἴτε ἄλλο τι περιῆκον καὶ ἐγγίζον ἐμοὶ ὁποιῳδήποτε τρόπῳ, ἐπικεκλήμην πρός με Ἀντώνιον Δαμιλᾶ νοτάριον βασιλικὸν ὅπως τῇ ἐκείνου γραφῇ διατάξω καὶ διαθήσωμαι πάντα τὰ ἐμὰ πράγματα, εἴτε κινούμενα εἴτε ἀκίνητα, εἴτε ἐκεῖνα. Καὶ πρῶτον βούλομαι εἶναι ἐπιμελητὴν καὶ κομεσάριον μόνον ταύτης τῆς ἐμῆς διαθήκης Θεόδωρον τὸν προειρημένον ἐμὸν ἄνδρα. Εἶτα ἀφίημι τῷ ἐμῷ υἱῷ Νικολάῳ τὴν εὐχήν μου καὶ ὑπέρπυρα ιʹ διὰ τὴν ψυχήν μου, σὺν τούτῳ ἵνα μὴ ἐνοχλήσῃ τὸν εἰρημένον Θεόδωρον τὸν ἄνδρα μου, ἀλλοτρόπως στερηθῇ καὶ τῶν εἰρημένων ὑπερπύρων ιʹ. Ἔτι ἀφίημι τῷ ἱερεῖ τῷ ὑπηρετοῦντι ἐν τῷ ναῷ τῆς Θεοτόκου λεγομένης κερὰ Μανολίτισσας ἥμισυ σαββατικόν, καὶ ἵνα ταφῶ ἐν τῷ ναῷ τοῦ ἁγίου Γεωργίου τοῦ Μόσχου, ὅπου θέλω ἵνα δοθῇ ἥμισυ σαββατικόν· ἔτι τῇ Ἀναστασίᾳ Μαρμαράδειᾳ γυναικὶ τοῦ ποτὲ Κωνσταντῆ Χρυσοχοοῦ ὑπέρπυρα γʹ διὰ τὴν ψυχήν μου. Τὰ λοιπὰ πάντα εἴτε κινούμενα εἴτε ἀκίνητα μένοντα ἐμοὶ πατρόθεν μητρόθεν καὶ παντὶ ἄλλῳ τρό-

πῳ ἐρχόμενα εἰς ἐμὲ ἀφίημι τῷ εἰρημένῳ Θεοδώρῳ καὶ ἐμῷ κομεσαρίῳ. Ἔτι ἀφίημι τούτῳ τῷ νοταρίῳ ὑπέρπυρα δ' διὰ τὸν κόπον αὐτοῦ. Ἐρωτηθεῖσα εἰ βούλεται ἀφιέναι ἕτερόν τι ἀλλαχοῦ που διὰ τὴν ψυχὴν αὐτῆς, ἀπεκρίθη, ὅτι οὔ· καὶ ταύτην τὴν ἐμὴν διαθήκην βεβαιῶ καὶ βούλομαι ἀκίνητον καὶ ἀμετάθετον εἶναι.

Ἐγὼ ὁ Νικόλας ὁ Κασάρω μάρτυρας. Ἐγὼ Ἰωάννης Κράμπας μαρτυρῶ τὰ ἄνωθεν. Μάρκο καὶ μαγιστρο-Γεώργης Κράμπας Φουνάραι.

---

17. 1502 ἰουνίου 29, διαθήκη Μαρίας Καπέλενας.

Τῇ κθ' τοῦ ἰουνίου ͵αφβ' ἔτει. Ἐγὼ Μαρία Καπέλενα γυνὴ τοῦ Φραγγία οἰκοῦσα ἐν ἐξωπόρτᾳ Χάνδακος Κρήτης, εὑρισκομένη δὲ τὸ παρὸν ἐντὸς Χάνδακος πόλεως, ἀσθενὴς μὲν τῷ σώματι, ὑγιὴς δὲ τῷ νῷ καὶ ταῖς αἰσθήσεσι, βουλομένη διαθέσθαι καὶ διατάξαι πάντα ὅσα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ἐστὶ κινούμενα καὶ ἀκίνητα, ἐκάλεσα ἐλθεῖν πρός με Ἀντώνιον Δαμιλᾶν νοτάριον βασιλικόν, ὅπως τῇ ἐκείνου γραφῇ διαθέσωμαι καὶ διατάξωμαι πάντα τὰ ἐμὰ πράγματα κατὰ τὴν ἐμὴν βουλὴν καὶ γνώμην. Καὶ πρῶτον ἁπάντων βούλομαι εἶναι ἐπιμελητὴν καὶ κομεσάριον ταύτης τῆς ἐμῆς διαθήκης τὸν εὐλαβῆ ἱερέα παπᾶ κὺρ Νικόλαον Πανεύφημον. Εἶτα ἀφίημι τῷ Γεωργίῳ τῳ ἐμῷ υἱῷ πᾶσαν τὴν ἐμὴν προῖκα δοθεῖσαν ἐμοὶ παρὰ τοῦ πατρός μου ἐν τῷ καιρῷ τῆς ὑπανδρείας μου, καθὼς φαίνεται γραφῇ τοῦ κὺρ Γεωργίου Χούμνου νοταρίου. Ἔτι καὶ ἄλλο πᾶν πρᾶγμα κινούμενον καὶ ἀκίνητον ἀναμένει ἐμὲ πατρόθεν, μητρόθεν ἢ ἄλλοθέν ποθεν παντὶ τρόπῳ εἰς ἐμὲ κατερχόμενον, ἢ ἀναμένον ἐμέ, ἀφίημι τῷ εἰρημένῳ Γεωργίῳ τῷ ἐμῷ τέκνῳ. Ἐὰν δὲ ὁ εἰρημένος

μου υἱὸς ἀποθάνῃ πρὸ τῆς νομίμου ἡλικίας, (δὲ ἐτὰ λεγίτιμα) ἔστωσαν πάντα τὰ ἐμὰ πράγματα, εἴτε προὶξ εἴ τε ἄλλο πρᾶγμα εἴτε ἐκεῖνο, εἰς τὴν ἐκκλησίαν τοῦ Σωτῆρος Χριστοῦ τοῦ ἐπιλεγομένου Σκουλούδη, διὰ τὴν ψυχήν μου μετὰ δὲ τὴν ρηθεῖσαν ἡλικίαν αὐτοῦ, ἔστωσαν ὅπου ὁ ρηθεὶς Γεώργιος βουλήσεται· καὶ ἵνα μὴ ἔχῃ ἐξουσίαν ὁ ρηθεὶς ἐμὸς υἱὸς εἰς τὰ εἰρημένα ἐμοῦ πράγματα μεταχειρίσασθαι πρὸ τῆς εἰρημένης ἡλικίας, εἴτε χρήματα, εἴτε στάμπελε, εἴτε ἐκεῖνα, ἀλλὰ μενέτωσαν ἐν ταῖς χερσὶ τοῦ εἰρημένου ἐμοῦ κομεσαρίου τοῦ ρηθέντος ἱερέως, καὶ αὐτὸς ὁ ρηθεὶς ἱερεὺς κυβερνάτω ὡς υἱὸν αὐτοῦ. Ἐὰν δὲ ὁ ρηθεὶς παῖς ἀποθάνῃ πρὸ τοῦ εἰρημένου καιροῦ τῆς νομίμου αὐτοῦ ἡλικίας, ἀγορασθήτω ἓν στάμπελε, ὅπως φανῆται τῷ ἐμῷ ρηθέντι κομεσαρίῳ, διὰ τῶν χρημάτων, ἃ εὑρεθήσονται ἐν ταῖς χερσὶν αὐτοῦ, ὅπως ὁ καρπὸς ἢ ἐνοίκιον τοῦ εἰρημένου σταμπέλου ἔσται τῷ εἰρημένῳ ναῷ τοῦ Σωτῆρος Χριστοῦ διὰ τὴν ψυχήν μου· εἰ δὲ εἴη στάμπελε, τὸ ἐνοίκιον ἔσται τοῦ εἰρημένου ναοῦ. Καὶ ταῦτα λέγω, ἐὰν πρὸ τῆς εἰρημένης ἡλικίας ὁ ρηθεὶς παῖς ἀποθάνῃ, θέλει ταφῇ ἐν τῷ εἰρημένῳ ναῷ. Ἐρωτηθεῖσα εἰ βούλεται ἀφιέναι ἢ εἰπεῖν τι ἕτερον παρὰ τὰ εἰρημένα, ἀπεκρίθη, ὅτι οὔ· καὶ ταῦτα βεβαιῶ καὶ βούλομαι ἀκίνητα εἶναι καὶ ἀμετάθετα, ἐνώπιον τούτου τοῦ νοταρίου καὶ τῶν ὑπογεγραμένων μαρτύρων.

Io Anzolo Mesano testemonio. Ἐγὼ Μιχαὴλ Μουρίτκος νοτάριος τῆς βασιλικῆς ἐξουσίας μάρτυς ἤμην. Ἐγὼ Μανόλης Τερμιτὶν Κρεβετζουρᾶς μάρτυς εἰς τ' ἄνω γεγραμμένα· καὶ μαγιστρο-Μάρκος Ἀσάνης μάρτυς καὶ αὐτός.

18. 1502 Ἰουλίου 31, διαθήκη Νεράτας Σαρτούρου.

Τῇ λα' τοῦ Ἰουλίου αφβ'. Ἐγὼ Νεράτα γυνὴ τοῦ κὺρ Κωνσταντίνου Κορωναίου Σαρτούρου οἰκοῦσα ἐν Χάνδακι νήσου Κρήτης, ἀσθενὴς μὲν τῷ σώματι, ὑγιὴς δὲ τῷ νῷ, καὶ ταῖς λοιπαῖς αἰσθήσεσι, φοβουμένη μὴ ἀπανθρωπισθῶ πρὸ τοῦ ἐμὲ ποιῆσαι διάταξιν καὶ διαθήκην κατὰ τὴν ἐμὴν γνώμην καὶ βούλησιν, ἠβουλήθην καλέσαι πρός με Ἀντώνιον Δαμιλᾶ νοτάριον βασιλικόν, ὅπως τῇ αὐτοῦ γραφῇ διατάξωμαι πάντα ὅσα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ἐστί, εἴτε προὶξ εἴτε ἄλλο τι ἀναμένει ἐμὲ πατρόθεν ἢ μητρόθεν ἄλλοθέν ποθεν. Καὶ πρῶτον ἁπάντων ποιοῦμαι κομεσάριον καὶ ἐπιμελητὴν ταύτης τῆς ἐμῆς διαθήκης τὸν εἰρημένον κὺρ Κωνσταντῖνον τὸν ἐμὸν ἄνδρα· εἶτα ἀφίημι τῇ Ἄννῃ θυγατρὶ τῆς ψυχῆς μου ὑπέρπυρα σ' μετὰ τὸν ἐμὸν θάνατον εἰς ὥραν ὑπανδρείας αὐτῆς, ἐκ τῆς ἐμῆς τῆς προικός, ἥτις ἦν ὅσα περιέχει ἡ γραφὴ τοῦ ποτὲ κὺρ Φραγγίσκου Καστροφύλακος. Ἔτι ἀφίημι τῷ ναῷ τοῦ Σωτῆρος Χριστοῦ ἐπιλεγομένου Σκουλούδη εἰς λειτουργίαν ὑπέρπυρα ν' διὰ τὴν ψυχήν μου, καὶ ἵνα δοθῶσι καὶ πληρωθῶσιν αὐτὰ εἰς χρόνον ἕνα τὰ ἡμίση μετὰ τὸν ἐμὸν θάνατον, τὰ λοιπὰ ἡμίση εἰς χρόνους β' μετὰ τὸν ἐμὸν θάνατον. Ἔτι ἀφίημι τῇ Τζουάνᾳ θυγατρὶ τοῦ Γεούργα τοῦ Κουρφιάτη ὑπέρπυρα ν' δοθησόμενα εἰς ὥραν ὑπανδρείας αὐτῆς διὰ τὴν ψυχήν μου· καὶ ἵνα ὁ εἰρημένος ἐμὸς κομεσάριος μνημονεύῃ διὰ τῶν ἱερέων μέχρι χρόνον ἑνὸς κατὰ τὴν συνήθειαν τῶν ἀνατολικῶν ἱερέων· θέλω δὲ ἵνα τὸ ρέστος καὶ τὰ λοιπὰ τῆς ἐμῆς προικὸς καὶ εἴ τι ἄλλο ἀναμένει ἐμὲ ὁποιῳδήποτε τρόπῳ πατρόθεν ἢ μητρόθεν ἢ ἄλλοθέν ποθεν ὦσι καὶ γένωνται τῷ εἰρημένῳ ἐμῷ ἀνδρὶ μετὰ τὸν ἐμὸν θάνατον, διὰ τὴν ψυχήν μου· μένῃ δὲ ἐν ταῖς χερσὶν αὐτοῦ ἡ ἐμὴ προίξ, ἤτοι τὸ ρέστος αὐτῆς εἰς τὰς χεῖ-

ρας αὐτοῦ σιγούρα εἰς τὸ στάμπελε αὐτοῦ, ὅπως πάλιν μετὰ τὸν αὐτοῦ θάνατον τὰ ἐμὰ τέκνα διαδέχωνται τὸ ρηθὲν ρέστος, ἐπίσης μερισάμενοι αὐτά· ἀποθανόντος δὲ τοῦ ἑτέρου τέκνου, διαδέχεται τὸ ἕτερον· ἀποθανόντων δὲ ἀμφοτέρων, ὥστι καὶ ὑπάρχωσι διὰ τὴν ψυχήν μου τὰ τέκνα πάλιν αὐτῶν τῶν εἰρημένων ἐμῶν τέκνων· ἀποθανόντων χωρὶς τέκνων, ἀπελθέτωσαν καὶ δοθήτωσαν ὑπέρπυρα ρ' τινὶ παιδὶ θηλυκῷ πένητι πρὸς τὸ ὑπανδρευθῆναι, τὰ λοιπὰ τοῦ ρέστους ἀπελθέτω τὰ ἡμίση εἰς φυλακήν, καὶ τὰ λοιπὰ ἡμίση εἰς τὸν ἅγιον Λάζαρον, διὰ τὴν ψυχὴν ἐμοῦ ἁπάντων. Ἐρωτηθεῖσα εἰ βούλεται εἰπεῖν ἢ ἀφιέναι τι ἑτερόν τινι, ἀπεκρίθη, ὅτι οὔ· καὶ ταῦτα· βεβαιῶ ἐνώπιον τούτου τοῦ νοταρίου καὶ τῶν ὑπογεγραμμένων μαρτύρων.

Ἐγὼ Γεώργης Καλόθετος μάρτυς. Ἐγὼ Μανόλης Κρεβετζουρᾶς 'ς τ' ἄνω γεγραμμένα μάρτυς.

---

19. 1503 αὐγούστου 29, διαθήκη Μαργέτας Δετομάζη.

Τῇ κθ' τοῦ αὐγούστου αφγ' ἔτει. Ἐγὼ Μαργέτα γυνὴ τοῦ Τζουάνε Δετομάζη οἰκοῦσα ἐν Χάνδακι νήσου Κρήτης, ὑγιὴς καὶ τὸ σῶμα καὶ τὸν νοῦν καὶ τὰς λοιπὰς αἰσθήσεις, φοβουμένη μήπως ἁρπαγῶ τῆς ἐντεῦθεν ζωῆς πρὸ τοῦ ἐμὲ διαθεῖναι πάντα ὅσα εἰσὶν ὑπὸ τὴν ἐμὴν ἐξουσίαν εἴτε προῖκα εἴτε δεμενσίρις, ἐκάλεσα Ἀντώνιον Δαμιλᾶ νοτάριον βασιλικόν, ὅπως τῇ ἐκείνου γραφῇ διαθήσωμαι τήν τε ἐμὴν ἅπασαν προῖκα καὶ δεμεσίριαν κατὰ τὴν ἐμὴν ὄρεξιν καὶ διάθεσιν. Καὶ πρῶτον ἁπάντων βούλομαι τὴν κερὰ Ὀνέσταν τὴν ἐμὴν μητέρα εἶναι ἐπιμελητὴν καὶ κομεσαρίαν ταύτης τῆς ἐμῆς διαθήκης μόνην, ὅπως παραπέμψῃ καὶ κυβερνήσῃ αὐτὴ καθὼς ἐγὼ ὑποκατιοῦσα ὑποθήσομαι· εἶτα ἀφίημι πᾶσαν τὴν ἐμὴν προῖκα τοῖς ἐμοῖς

τέκνοις τῇ τε Πολυξένῃ καὶ τῇ Φρατζοῦ καὶ τοῖς ἄλλοις μου τέκνοις ὅσα εὑρεθήσομαι ἔχουσα μετὰ τὸν ἐμὸν θάνατον, μερισθῶσιν ἐπίσης τά τε ἄρσενα καὶ θήλεα· καὶ ἐὰν ἐξ αὐτῶν ἀποθάνῃ πρὸ τῆς νομίμου ἡλικίας, ἐπαναστραφήτω ἡ προίξ μου εἰς τὰ λοιπὰ τέκνα· καὶ οὕτω μέχρι τοῦ ἐσχάτου, εἰ καὶ ἓν ἔσται τὸ ἐναπολειφθέν, λαμβάνῃ πᾶσαν τὴν ἐμὴν προῖκα. Ἐὰν δὲ πάντα ἀποθάνωσι πρὸ τῆς νομίμου ἡλικίας, ἐπιστραφήτω εἰς τὴν ἐμὴν εἰρημένην μητέρα καὶ κομεσαρίαν ζῶσαν· ἐὰν δὲ αὐτὴ ἡ μήτηρ μου εὑρεθῇ ἀποθανοῦσα πρότερον πρὸ τοῦ θανάτου τῶν ἐμῶν τέκνων, καὶ τοῦ ὑστέρου τοῦ ἀπολειφθέντος, εἴ τε μετὰ τὸν θάνατον αὐτῆς εὑρεθῇ ζῶν ἐκ τῶν ἐμῶν τέκνων, εἴτε καὶ αὐτὰ πάντα ἀποθάνωσι πρὸ τῆς νομίμου ἡλικίας ὡς εἴρηται, θέλω ἵνα μετὰ τὸν θάνατον ἁπάντων τῶν ἐμῶν τέκνων, τῆς μητρός μου ἀπολειπούσης, ὅπως λαμβάνῃ τὸ μοναστήριον τοῦ ἁγίου Φραγκίσκου ὑπέρπυρα τ΄ διὰ τὴν ψυχήν μου, καὶ αὐτοὶ οἱ φράροι ποιῶσι λειτουργίας ρ΄ καὶ ἓν σέκιον μέχρι τῆς ἀναλώσεως τῶν εἰρημένων ὑπερπύρων τ΄. Μετὰ δὲ τὸν θάνατον τῶν ἐμῶν τέκνων, ζώσης τῆς ἐμῆς μητρὸς καὶ μὴ ζώσης, ἀφίημι τὸ χωρίον τὴν Κόλεναν τῷ εἰρημένῳ Τζουάνε τῷ ἀνδρί μου. Ἔτι ἀφίημι τῇ Αἰκατερίνῃ τῇ νένᾳ μου ὑπέρπυρα ν΄ μετὰ τὸν ἐμὸν θάνατον καὶ μετὰ τὸν θάνατον τῶν ἐμῶν τέκνων. Ἔτι θέλω ἵνα οἱ φράροι τοῦ ἁγίου Φραγκίσκου κειμένου ἐν τῷ ἄκρῳ τῆς πόλεως Χάνδακος, λαμβάνωσι τόσον ὅσον ἐστὶν ἱκανὸν πρὸς τὰς λ΄ λειτουργίας τοῦ ἁγίου Γρηγορίου καὶ ἄλλας λ΄ τοῦ Σταυροῦ, καὶ τῆς Θεοτόκου ξγ΄, διὰ τὴν ψυχήν μου, ἔξω τῶν εἰρημένων ὑπ. τ΄· αἱ λοιπαὶ τῆς ἐμῆς προικὸς δοθήτωσαν πρὸς ὑπανδρείαν τριῶν τινων θηλυκῶν πτωχῶν διὰ τὴν ψυχήν μου· καὶ ταῦτα ἔστωσαν τὰ ἀναγεγραμμένα μετὰ τὸν θάνατον ἁπάντων τῶν ἐμῶν τέκνων τῶν τε ὄντων καὶ τῶν ἐσομένων· ζώντων δὲ αὐτῶν, μόναι αἱ λειτουργίαι τοῦ ἁγίου Γρηγορίου καὶ τοῦ Σταυροῦ καὶ τῆς Θεοτόκου ἐξοδιάσθωσαν

μετὰ τὸν ἐμὸν θάνατον· τὰ τριακόσια δὲ ὑπέρπυρα ἅτινα ἀφίημι τῷ ἁγίῳ Φραγκίσκῳ ὡς ἄνωθεν εἴρηται, ἔστωσαν τοῖς ἐμοῖς τέκνοις ἢ τέκνῳ μετὰ τὸν ἐμὸν θάνατον· ἡ μήτηρ μου δὲ ἡ κερὰ Ὀνέστα, ζώντων τῶν τέκνων καὶ ἀποθανόντων, λαμβανέτω τὴν ἐμὴν δεμεσόριαν. . . . . δουκάτα πεντήκοντα, μετὰ τὸν ἐμὸν θάνατον . . . . .

Ἐὰν δὲ τὰ ἐμὰ τέκνα πάντα ἀποθάνωσι πρὸ τῆς νομίμου ἡλικίας, ἔστωσαν ἅπαντα τῇ ἐμῇ εἰρημένῃ μητρὶ καὶ κομεσαρίᾳ, καὶ αὐτὴ δότω τὰ τ' ὑπέρπυρα τῷ μοναστηρίῳ τοῦ ἁγίου Φραγγίσκου καὶ τὰς ἄλλας εἰρημένας λειτουργίας, ἔξω μόνον τῆς Κόλενας, ἣν ἀφίημι τῷ ἐμῷ εἰρημένῳ ἀνδρὶ μετὰ τὸν θάνατον τῶν ἐμῶν ἁπάντων τέκνων, ὡς εἴρηται· μετὰ δὲ τὸν αὐτῆς θάνατον· καὶ τὸν ἐμὸν καὶ πάντων τέκνων, ἔστωσαν καὶ γινέσθωσαν τὰ ἄλλα ψυχικὰ καὶ αἱ ὑπανδρίαι, ὡς εἴρηται· τὰ δὲ ν' δουκάτα τῆς δεμησορίας ἔστω ἐν τῇ ἐξουσίᾳ αὐτῆς τῆς μητρός μου ποιῆσαι καὶ διατεθῆναι αὐτὴ ὡς βούλεται μόνον· ζώντων δὲ τῶν ἐμῶν τέκνων ἢ πάντων ἢ ἑνός, ἔστω πᾶσα ἡ προὶξ αὐτοῖς· πλὴν τῆς εἰρημένης δεμεσορίας τῶν ν' δουκάτων, καὶ τῶν λειτουργιῶν τοῦ ἁγίου Γρηγορίου καὶ τῆς Θεοτόκου καὶ τοῦ Σταυροῦ· ταῦτα δοθήτωσαν ζώντων τῶν ἐμῶν τέκνων, μετὰ τὸν ἐμὸν θάνατον. Ἐρωτηθεῖσα εἰ βούλεται ἀφιέναι διὰ τὴν ψυχὴν αὐτῆς ἢ ἐν τῷ ἁγίῳ Λαζάρῳ ἢ ἀλλαχοῦ που, εἶπεν ὅτι οὐ βούλεται· καὶ ταύτην τὴν ἐμὴν διαθήκην βούλομαι ἀσάλευτον καὶ βεβαίαν. Ἔτι ἀφίεμι μετὰ τὸν θάνατον τῶν ἐμῶν τέκνων καὶ ἐμοῦ ὑπέρπυρα ρ' διὰ τὴν ψυχήν μου τῇ κερᾷ Φραγγισκίνῃ Λίμενᾳ.

Ἐγὼ ὁ Νικόλας ὁ Κασάρος μάρτυς εἰμὶ εἰς τὰ ἄνω γέγραμμένα. Ἐγὼ Γεώργιος Μαρμακιώτης μάρτυς παρακληθεὶς ἔγραψα. Ἐγὼ Ἰωάννης Παπαδόπουλος μάρτυς παρακληθεὶς ἔγραψα.

20. 1503 ὀκτωβρίου 25, διαθήκη Κεράνας Θηκαρᾶ.

Τῇ κε΄ τοῦ ὀκτωβρίου ͵αφγ΄. Ἐγὼ Κεράννα γυνὴ τοῦ Λιάχου νομικοῦ Θηκαρᾶ οἰκοῦσα ἐν Ἰουδαίᾳ Χάνδακος Κρήτης, ἀσθενὴς μὲν τῷ σώματι, ὑγιὴς δὲ τὸν νοῦν καὶ τὰς λοιπὰς αἰσθήσεις, φοβουμένη μήπως προαρπασθῶ ὑπὸ τοῦ θανάτου πρὶν διαθέσθαι καὶ διατάξαι πάντα τὰ ἐμὰ ὅσα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ἐστίν, ἐποίησα καλέσαι πρός με Ἀντώνιον Δαμιλᾶ νοτάριον βασιλικόν, ὅπως τῇ αὐτοῦ γραφῇ διαθήσωμαι αὐτὰ καθὼς ἐγὼ ἔχω θελήματος. Καὶ πρῶτον ἀφίημι κομεσαρίους καὶ ἐπιμελητὰς ταύτης τῆς ἐμῆς διαθήκης Λιάχον τὸν εἰρημένον ἐμὸν ἄνδρα καὶ Ἀβραχᾶ Πίλην τὸν ἐμὸν θεῖον, καὶ Ἰακὼβ δὲ Ἀβαδήατον βαφέα· καὶ εἶτα ἀφίημι τῷ εἰρημένῳ ἐμῷ ἀνδρὶ καὶ κομεσαρίῳ τῷ Λιάχῳ ὑπέρπυρα φ΄, ζώσης τῆς θυγατρὸς ἐμοῦ τῆς Σαρούλας καὶ μὴ ζώσης, σύν γε μὴν ταύτῃ τῇ ὑποθέσει καὶ τῇ κοντετζιόν, ἵνα ἐὰν οὐχ ὑπανδρευθῇ εἰς ὅλην αὐτοῦ τὴν ζωήν, εἰ δὲ μή, ἔστω ἐστερημένος τῶν εἰρημένων ὑπερπύρων φ΄, ἃ ἀφίημι αὐτῷ ἐκ τῆς ἐμῆς προικός· τὰ λοιπὰ πάντα τῆς ἐμῆς προικὸς ἀφίημι τῇ εἰρημένῃ Σαρούλᾳ τῇ θυγατρί μου· ἥτις προὶξ ἐστὶν ὑπέρπυρα χιλιάδες β΄ καὶ ἥμιση, ὡς ἐγὼ λέγω, καὶ τὸν οἶκον τῷ ἰουδαϊκῷ μακελείῳ παρακείμενον· ἔτι ἀφίημι καὶ τὰς βίτζας καὶ τὰς δυνάμεις ἃς ἔχω ἁπάσας τῇ εἰρημένῃ μου θυγατρὶ τῆς οἰκίας μου ἐν ᾗ σήμερον οἰκῶ κειμένης ἐν τοῖς τζαγκαρίοις τῆς Ἰουδαΐας, κα. ἵνα μὴ δύναταί τις δῶσαι τινὶ ἀνθρώπῳ ξένῳ οἰκεῖν αὐτήν, εἰ μὴ μόνον ὁ ἀνήρ μου καὶ τὸ παιδίον μου οἰκείτω ἐν αὐτῇ. Ἔτι ἀφίημι ἐν τῷ μασγιδιένι μέτρα ἐλαίου τρία. Ἔτι ἀφίημι τῷ Μωϋσὲ τῷ ἀδελφῷ μου ὑπέρπυρα ν΄ διὰ τὴν ψυχήν μου. Ἀφίημι δοθῆναι εἰς δύο ἀνδρόγυνα πτωχὰ ὑπέρπυρα ν΄, ἤτοι κε΄ ἑκάστῳ. Ἔτι ἀφίημι ὑπέρπυρα ε΄ τῇ Κοντομουρίνᾳ διὰ τὴν ψυχήν. Ἔτι τῷ Πλεκτῷ

τῷ Κρυβάρῃ ὑπέρπυρα ι'. Ἔτι ὑπέρπυρα κε' τῇ θείᾳ τῇ Καλῇ τοῦ Μοσχᾶ. Ἔτι θέλω ὅπως οἱ κομεσάριοί μου ὑπανδρεύσωσι τὸ εἰρημένον μου τέκνον εἰς τὴν ἡλικίαν χρόνων ιγ'· ἀποθανούσης δὲ αὐτῆς πρὸ τοῦ γενέσθαι τῶν εἰρημένων χρόνων ιγ', ποιησάτωσαν ἐκ τῆς προικός μου ἐλεημοσύνας εἰς πτωχὰ ἀνδρόγυνα, καὶ μῆλα ἀργυρᾶ εἰς τὸ μασγίδιον ζευγάριον ἕν. Ἔτι ἐὰν δὲ τὸ ἐμὸν παιδίον ἡ Σαρούλα οὐκ ἔχει καλὴν συντροφίαν μετὰ τοῦ ἀνδρός μου, λαμβανέτωσαν οἱ λοιποὶ κομεσάριοί μου το εἰρημένον μου τέκνον καὶ τὰ λοιπὰ πράγματα, ἔξω τῶν εἰρημένων ὑπερπύρων φ', ἅτινα ἀφίημι αὐτῷ τῷ Λιάχῳ μὴ ὑπανδρευθέντι· ὑπανδρευθέντι δέ, ἔστω στέρησις αὐτῷ τῶν εἰρημένων φ' ὑπερπύρων, καὶ ἔστωσαν αὐτὰ τὰ φ' ὑπέρπυρα τῷ εἰρημένῳ ἐμῷ τέκνῳ. Ἔτι ἀφίημι τῇ Ἀργυρῇ τοῦ Κούτλου ὑπέρπυρα κε', καὶ ὑπέρπυρα ε' τῷ Καμπαρῇ. Ἐρωτηθεῖσα εἰ βούλεται εἰπεῖν ἢ ἀφιέναι τι ἕτερον, πλὴν τῶν εἰρημένων, ἀποκριθεῖσα ἡ Κεράννα εἶπεν, ὅτι οὐ βούλομαι, καὶ ταύτην βεβαιῶ, καὶ βούλομαι ταύτην τὴν ἐμὴν διαθήκην βεβαίαν καὶ ἀμετακίνητον εἶναι.

Μάρτυρες παρακεκλημένοι (ὑπογράφονται δι' ἑβραϊκῶν χαρακτήρων).

---

21. 1503 νοεμβρίου 24, διαθήκη Βαρβάρας Μοσχολέου Συρίγου.

Τῇ κδ' τοῦ νοεμβρίου, ἔτει αφγ'. Ἐγὼ Βαρβάρα γυνὴ τοῦ ποτὲ κὺρ Μοσχολέου Συρίγου, οἰκοῦσα ἐν Χάνδακι νήσου Κρήτης, ἀσθενὴς μὲν τὸ σῶμα, ὑγιὴς δὲ τὸν νοῦν καὶ τὰς λοιπὰς αἰσθήσεις, φοβουμένη μὴ προαρπαγῶ τῆς παρούσης ζωῆς πρὸ τοῦ ἐμὲ διαθεῖναι καὶ τάξαι τὴν ἐμὴν προῖκα κατὰ τὴν ἐμὴν γνώμην καὶ διάθεσιν, ἐποίησα καλέσαι Ἀντώνιον Δαμιλᾶ νοτά-

ριον βασιλικόν, ὅπως τῇ ἐκείνου γραφῇ διαθήσωμαι τὴν ἐμὴν εἰρημένην προῖκα κατὰ τὴν ἐμὴν γνώμην, καὶ βουλήν, καὶ προαίρεσιν· ἥτις ἐμὴ προὶξ ἔστι χιλιάδες ὑπέρπυρα β′ καθαραὶ χωρὶς τῶν χαρισμάτων, καθὼς φαίνεται γραφῇ τοῦ ποτὲ κὺρ Φραγγίσκου Καπέλου νοταρίου, ὡς ἐγὼ λέγω. Καὶ πρῶτον ἀφίημι κομεσάριον πιστὸν ταύτης τῆς ἐμῆς διαθήκης Φραγγίσκον τὸν ἐμὸν υἱόν· πρὸς τούτοις ἀφίημι αὐτῷ καὶ τὴν εἰρημένην ἅπασαν ἐμὴν προῖκα, ὡς ἀγαθῷ καὶ πιστῷ μου υἱῷ, σὺν τούτῳ ὅπως ᾗ κεκρατημένος δώσειν τῷ μοναστηρίῳ τοῦ ἁγίου Δομινίκου καὶ ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Πέτρου λειτουργίας ρ′ τοῦ ἁγίου Γρηγορίου, ἐν ᾧ βούλομαι ταφῆναι· ἔτι ἐν φυλακαῖς ὑπέρπυρα ε′ διὰ τὸ ἐκβαλεῖν τινὰ ἕνα πεφυλακισμένον. Ἔτι τῇ Αἰκατερίνῃ τοῦ Θηριανοῦ ὑπέρπυρα ε′ διὰ τὴν ψυχήν μου. Ἔτι καὶ τῇ Ἀνέζῃ τῇ ἐμῇ δουλίδι ἓν ζεῦγος τῶν ἐμῶν σινδονίων τὰ παλαιότερα, καὶ προσκεφαλάδια δ′ μάνας, καὶ δύο προσκεφαλεδόψιδα, καὶ ἓν πάπλωμα ὑπέρ. ιβ′, καὶ λινάριν λιτρῶν ι′, καὶ μίαν πόλιαν ἀνεψιταρένη. Ἔτι ἀφίημι τούτῳ τῷ νοταρίῳ δουκάτον ἓν διὰ τὸν κόπον αὐτοῦ. Ταῦτα πάντα πληρούτω εἰς ἑξ μῆνας ἢ καὶ πρότερον, ἐκτὸς τοῦ χρήματος δουκάτου τοῦ νοταρίου. Ἔτι ἀφίημι τῇ Ἀνέζῃ τῇ ἐμῇ παιδίσκῃ ὑπέρπ. δ′ διὰ τὴν ψυχήν μου· ἐρωτηθεῖσα εἰ βούλεται εἰπεῖν ἢ ἀφιέναι καί τι ἑτέρῳ καὶ ἄλλο διὰ τὴν ψυχὴν αὐτῆς εἶπεν, ὅτι οὐ βούλεται. Ἔτι ἀφίημι τοῖς λοιποῖς μου τέκνοις ἀρσενικοῖς καὶ θηλυκοῖς τὴν εὐχήν μου, ὡς μήτηρ αὐτῶν.

Ἐγὼ ὁ Νικόλαος ὁ Κασάρος μάρτυς εἰς τ᾽ ἄνω γεγραμμένα. Ἐγὼ Μιχάλης Γαλονησῆς μάρτυς εἰς τ᾽ ἄνω γεγραμμένα. Ἐγὼ Ἰωάννης Κράμπας μαρτυρῶ τὰ ἄνωθεν.

22. 1504 ἀπριλίου 12, διαθήκη Μάρκου Δελαγρόντα.

Τῇ ιβ' τοῦ ἀπριλίου αφδ'. Ἐγὼ Μάρκος Δαλαγρόντας υἱὸς τοῦ ποτὲ Φραγγίσκου οἰκῶν ἐν Χάνδακι νήσου Κρήτης, ὑγιὴς μὲν τὸν νοῦν, ἀσθενὴς δὲ τὸ σῶμα, βουλόμενος διαθέσθαι πάντα ὅσα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ἐστὶ πρὸ τοῦ ἀποθανεῖν, ἠθέλησα καλέσαι Ἀντώνιον Δαμιλᾶ νοτάριον βασιλικόν, ὅπως τῇ ἐκείνου γραφῇ διατάξωμαι αὐτὰ καθὼς ἔχω βουλήσεως καὶ γνώμης. Καὶ πρῶτον ἁπάντων ἀφίημι κομεσαρίαν ταύτης τῆς ἐμῆς διαθήκης Μαρίαν τὴν ἐμὴν γυναῖκα· εἶτα ἀφίημι τὴν ἐμὴν οἰκίαν, ἥν μοὶ ἀφῆκεν ὁ ποτὲ θεῖός μου ὁ Γασπαρῆς Πέμπος, ἥτις κεῖται ἐν τῷ λεγομένῳ Μὴλ Καντί, τῷ Ἰωάννῃ τῷ ἐμῷ υἱῷ, ἐὰν δὲ ἀποθάνῃ πρὸ τῆς νομίμου ἡλικίας τῶν ιη χρόνων, ἔστω τῇ εἰρημένῃ Μαρίᾳ τῇ γυναικί μου αὕτη ἡ ῥηθεῖσα οἰκία, μετὰ τὸν θάνατον τοῦ παιδίου μου, κατὰ τὴν κοντετζιὸν καὶ τοὺς τρόπους καὶ τὰς κοντετζιόνας καθ' ἃς ἀφιᾶσιν αὐτὴν ἐμοί ποτε ὁ ῥηθεὶς Γασπαρῆς καὶ ἡ Μαρία ἡ γυνὴ αὐτοῦ τοῦ Γασπαρῆ. Ἔτι ἀφίημι τῇ εἰρημένῃ Μαρίᾳ τῇ γυναικί μου τὰ ια' δουκάτα, ἃ μοὶ ὀφείλει ὁ μισὲρ Μάρκος Ὑαληνᾶς, καθὼς ἐν τῷ χειρογράφῳ αὐτοῦ φαίνεται. Ἔτι ἀφίημι τῇ εἰρημένῃ μου γυναικὶ τοὺς δύο πόδας τῶν χωραφίων κειμένων ἐν Καστροβούνῳ παρὰ τῇ Σιτείᾳ ὑπὸ τὸν τόπον τοῦ κὺρ Τομῆ Διολεβάτου, ὁμοίως καὶ τὴν γῆν καὶ τὸν καρπὸν τοῦ σίτου μουζουρία δ', καὶ τοῦ λινοσπόρου μουζουρία β' ἥμισυ· βούλομαι δὲ ταφῆναι ἐν τῷ ναῷ τοῦ ἁγίου Ἰωάννου τῶν Φράρων, ὅπου ἡ ἐμὴ γυνὴ ποιησάτω ἐλεημοσύνην ὡς βούλεται. Ἐρωτηθεὶς εἰ βούλεται εἰπεῖν ἄλλο τι ἢ ἀφιέναι διὰ τὴν αὐτοῦ ψυχήν, ἀπεκρίθη ὅτι οὐ βούλεται.

23. 1504 ἀπριλίου 17, διαθήκη Μάρκου Ἀσάνη.

Τῇ ιζ΄ τοῦ ἀπριλίου ἔτι αφδ΄. Ἐγὼ Μάρκος Ἀσάνης υἱὸς τοῦ ποτὲ Γεωργίου, σκυτεύς, οἰκῶν ἐν Χάνδακι νήσου Κρήτης, ὑγιὴς καὶ τὸ σῶμα καὶ τὰς λοιπὰς αἰσθήσεις αὐτοῦ καὶ τὰς τῆς ψυχῆς αἰσθήσεις, βουλόμενος διαθέσθαι καὶ διατάξαι πάντα τὰ ἐμὰ πράγματα κινούμενα καὶ ἀκίνητα, ὅσα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν εἰσί, πρὶν τὸν θάνατον ἐπιστῆναί μοι καὶ σύγχυσιν ποιῆσαι ταῖς ἐμαῖς αἰσθήσεσι, καθὼς πολλοὶ τῶν πρὸ ἐμοῦ ἐφάνησαν παθόντες, ἐπλησίασα Ἀντωνίῳ τῷ Δαμιλᾷ νοταρίῳ βασιλικῷ, ὅπως τῇ ἐκείνου γραφῇ διατάξωμαι καὶ διαθήσωμαι αὐτὰ κατὰ τὴν ἐμὴν γνώμην καὶ βούλησιν. Καὶ πρῶτον ἁπάντων, θέλω Καλὴν τὴν ἐμὴν γυναῖκα εἶναι ἐπιμελητὴν καὶ κομεσάριον ταύτης πιστὸν τῆς παρούσης διαθήκης, καὶ τὸν ἀδελφόν μου τὸν Ἀθανάσιον, καὶ ἵνα μὴ δύνηται ὁ ἕτερος αὐτῶν ποιῆσαί τι χωρὶς βουλῆς καὶ γνώμης τοῦ ἑτέρου. Καὶ διὰ ἐλευθερίαν τῆς ψυχῆς μου ὁμολογῶ ὀφείλειν τῇ Καλογραίᾳ, καθὼς φαίνεται ἐμῷ χειρογράφῳ, δουκάτα δ΄, ἅτινα θέλω ὅπως δοθῶσιν αὐτῇ, ἐὰν μὴ φθάσας ἐγὼ πληρώσω αὐτὰ εἰς τὴν ζωήν μου· ἔτι ὀφείλω τῷ Ἰχνᾷ Βουργιλᾷ δουκάτα ζ΄, καθὼς φαίνεται γραφῇ τοῦ κὺρ Φανουρίου Τριβιζίου νοταρίου· καὶ εἴ τι ἄλλο χρέος εὑρεθῶ ὀφείλειν, πληρούσθω ἐκ τῶν ἐμῶν πραγμάτων. Εἶτα θέλω ὅπως ἡ θυγάτηρ μου ἡ Ματθαία ἐχέτω τὰς ἐξόδους αὐτῆς ἐκ τῶν ἐμῶν πραγμάτων, εἰς τὸν καιρὸν δὲ τῆς αὐτῆς ὑπανδρείας λαβέτω ἐκ τῶν ἐμῶν πραγμάτων ὑπέρπυρα ἑξακόσια διὰ προῖκα, καὶ ἕτερα ρ΄ εἰς δωρήματα· ἐπειδὴ ἔχω λαβὼν παρὰ τῆς εἰρημένης Καλῆς τῆς γυναικός μου εἰς πράγματα καὶ στολισμὸν γυναικεῖον, οἶμαι κατὰ τὴν ἐμὴν κρίσιν ἄξια εἶναι ὑπέρπ. φ΄, καὶ οὔτε γράμμα τοῦ γάμου εὑρίσκεται, οὔτε ἄλλη γραφὴ κατὰ τὴν ἐμὴν μνήμην δηλοῦσα

ταῦτα, διὰ τοῦτο θέλω ὁ ρηθεὶς Μάρκος, ὅπως καὶ αὐτὴ λαμβάνῃ διὰ προῖκα αὐτῆς ὑπέρπυρα φ'. Τὰ λοιπὰ οὕτως ἱστάμενα εἰς εὖ κινούμενα μερισάσθωσαν ἐπίσης τὰ ἐμὰ τέκνα τὰ ἀρσενικά, καὶ ὅσα ἄλλα εὑρεθήσομαι ἔχων πρὸ τοῦ θανάτου μου. Ἔτι ἀφίημι τῇ Αἰκατερίνῃ τῇ θυγατρί μου τῇ ὑπανδρευθείσῃ ὑπέρπυρα ι', λαβέτω ἐκ τῶν ἐμῶν ἀγαθῶν, καὶ τὴν εὐχήν μου, ὁμοίως καὶ τὰ λοιπά μου τέκνα· καὶ ἵνα δώσωσιν ἅπαξ εἰς φυλακὴν ὑπέρπυρα ι' διὰ τὴν ψυχήν μου. Καὶ τὰ μνημόσυνα γενέσθω κατὰ τὴν τάξιν τῆς ἐκκλησίας τῶν Γραικῶν· καὶ ταῦτα πάντα τά τε ψυχικὰ καὶ τὰ ἀφεθέντα τοῖς ἐμοῖς εἰρημένοις τέκνοις ἔστωσαν αὐτὰ μετὰ τὸν ἐμὸν θάνατον· τὰ δὲ εἰρημένα ὑπέρπυρα φ' ἔστωσαν ἀεὶ ὑπὸ τὴν ἐξουσίαν τῆς εἰρημένης Καλῆς, ὡς ἂν πράγματα αὐτῆς καὶ ὡς ἂν προὶξ ἰδία αὐτῆς. Ἐρωτηθείς, εἰ βούλεται εἰπεῖν ἢ ἀφιέναι τι τινὶ ἑτέρῳ ἄλλο τι παρὰ τὰ εἰρημένα ἄνωθεν, ἀπεκρίθη, ὅτι οὐ βούλομαι. Καὶ ταῦτα βεβαιῶ ἐγὼ ὁ ρηθεὶς Μάρκος, καὶ βούλομαι ἀμετάθετον καὶ ἀκίνητον εἶναι ταύτην τὴν ἐμὴν διαθήκην καὶ βέβαιον.

---

24. 1504 ἰουνίου 1, δευτέρα διαθήκη Βαρβάρας Μοσχολέου Συρίγου.

Τῇ α' τοῦ ἰουνίου αφδ' ἔτει. Ἐγὼ Βαρβάρα γυνὴ τοῦ ποτὲ Μοσχολέου Συρίγου ἀσθενὴς μὲν τῷ σώματι, ὑγιὴς δὲ τὸν νοῦν καὶ τὰς λοιπὰς αἰσθήσεις, βουλομένη διαθεῖναι πάντα τὰ ἐμὰ πράγματα, ὅσα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ἐστὶ κινητὰ καὶ ἀκίνητα καὶ ὅσα ἡ ἐμὴ προὶξ περιλαμβάνει, ἐποίησα καλέσαι πρός με Ἀντώνιον Δαμιλᾶ νοτάριον βασιλικόν, ὅπως τῇ ἐκείνου γραφῇ διαθήσωμαι τὴν εἰρημένην ἐμὴν προῖκα, κατὰ τὴν ἐμὴν γνώμην καὶ διάθεσιν, καὶ πρῶτον ἁπάντων ἀφίημι κομεσαρίους

ταύτης τῆς ἐμῆς διαθήκης Ἀνδρέαν καὶ Φραγγίσκον τοὺς ἐμοὺς υἱούς, ὅπως παραπέμψωσι ταύτην τὴν ἐμὴν διαθήκην καθὼς ἐγὼ θέλω καὶ βούλομαι· καὶ εἶτα θέλω ὅπως οἱ εἰρημένοι μου υἱοὶ μερίσωνται ἅπασαν τὴν ἐμὴν προῖκα ἐπίσης καὶ ἴσως· ἐξαιρουμένου πρῶτον τοῦ εἰσωχώρου ἔμπροσθεν τῆς θύρας ἐμοῦ τοῦ μεγάλου, ἐν ᾧ σήμερον ἁλωνεύουσιν, ὅστις εἰσώχωρος ἔστω τῷ εἰρημένῳ Φραγγίσκῳ τῷ ἐμῷ υἱῷ μόνῳ· τὰ λοιπὰ τῆς προικός μου μερισάσθωσαν ἴσως καὶ ἐπίσης. Ἐὰν δὲ ὁ μεγάλος μου υἱὸς ὁ Ἀνδρέας ἐνοχλήσῃ τὸν Φραγγίσκον, διότι ἀφῆκα αὐτῷ πλέον τὸ εἰρημένον εἰσώχωρον, ἔστω ἐστερημένος παντελῶς τῆς ἐμῆς προικός. Ἔτι ἀφίημι τῇ Μαρίᾳ τῇ θυγατρί μου τῇ Σαγιάδενᾳ τὴν εὐχήν μου καὶ ὑπέρπυρα ε'. Τῇ Μαδελούτζᾳ τῇ θυγατρί μου ὁμοίως ὑπέρπυρα ε' καὶ τὴν εὐχήν μου. Ἔτι ἀφίημι τῇ Γενῇ τῇ ἐμῇ ἀναθρέπτῳ ὑπέρπυρα ν', καὶ ὅπως ἑκάτερος τῶν υἱῶν μου δώσῃ αὐτῇ ὑπέρπυρα κε', εἰς καιρὸν ὑπανδρείας αὐτῆς· ἔτι τῇ Ἀνέζῃ τῇ κοπέλᾳ τὸ στρῶμα ἐν ᾧ κεῖται καὶ λίνον λίτρας κε' μετὰ τὸν ἐμὸν θάνατον. Ἔτι τῇ Ζαμπέτᾳ τῇ κοπέλᾳ μου ἣν ὑπάνδρευσα ὑπέρπυρα ε'· καὶ εἰς φυλακὴν ὑπέρπυρα ε', διὰ τὸ ἐκβαλεῖν πεφυλακισμένον. Ἔτι ἀφίημι τούτῳ τῷ νοταρίῳ δουκάτον ἓν διὰ τὸν κόπον αὐτοῦ. Ἐρωτηθεῖσα εἰ βούλεται εἰπεῖν ἢ ἀφιέναι τι ἑτέρῳ τινί, ἀπεκρίθη ὅτι οὔ. Καὶ ταύτην τὴν ἐμὴν διαθήκην βεβαιῶ καὶ βούλομαι ἀκίνητον εἶναι, παρακληθεῖσαν ἐνώπιον τῶν ὑπογεγραμμένων μαρτύρων. Μάρτυρας ἐγὼ ὁ παπᾶ Ἰωάννης ὁ Κακαβᾶς· μάρτυρας ἐγὼ Μιχέλης Γαλονησῆς· ἐγὼ Γεώργιος Κλότζας μαρτυρῶ τὰ εἰρημένα.

ΠΙΝΑΞ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΕΝ ΤΩ ΕΚΤΩ ΤΟΜΩ.